# ΠΕΡΙΓΡΑΦΗ

ΤΗΣ

# ΙΕΡΑΣ ΜΟΝΗΣ ΚΥΚΚΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
(ΚΥΠΡΟΥ)
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΑΠΑΣΑ Η ΑΚΟΛΟΥΘΙΑ

Τῆς 8ης Σεπτεμβρίου

Τοῦ Γεννεσίου τῆς Ὑπεραγίας Θεοτόκου
καὶ Ἀειπαρθένου Μαρίας
μετὰ τῆς Τυπικῆς Διατάξεως καὶ Συναξαρίου
Ἐκ τοῦ Μηνολογίου.

ΚΑΙ

# ΠΕΡΙΓΡΑΦΗ

τῆς Ἱερᾶς καὶ Σεβασμίας
καὶ Βασιλικῆς Μονῆς τῆς Ὑπεραγίας Θεοτόκου

ΤΟΥ ΚΥΚΚΟΥ

Ἐπιφημιζομένης κατὰ τὴν νῆσον

ΚΥΠΡΟΝ

ΥΠΟ

ΕΦΡΑ·Ι·Μ Ἱερομονάχου
καὶ σχόλιον ὑπὸ τοῦ
πρώην Μητροπολίτου Ἀγκύρας
κ. ΣΕΡΑΦΕΙΜ τοῦ Πισσιδείου.

*Πρὸς ὄφελος τῆς εὐσεβοῦς Κοινότητος τοῦ Ἁγίου Παύλου
τῆς νήσου Κύπρου.*

ΚΑΙΡΟΝ
ΤΥΠΟΙΣ Ε. ΜΕΝΙΚΙΔΟΥ & ΣΙΑ.
1928

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Τὸ παρὸν βιβλίον ἐξεδόθη
πρὸς ὄφελος τῆς Κοινότητος
Ἁγίου Παύλου (Κύπρου)
δαπάνῃ τοῦ
κ. ΚΥΡΙΑΚΟΥ ΠΑΠΑΔΟΠΟΥΛΟΥ
ΕΝ ΜΗΝΙΑ (ΑΝΩ ΑΙΓΥΠΤΟΥ)

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒ[...] ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑ[...]




Τοῦ Πλοίου ἐλλιμενισθέντος ἐν Κύπρῳ προσδέχεται, ὁ Ἠσαΐας μετὰ τοῦ Δουκός, τὴν Ἁγίαν Εἰκόνα, καὶ παρ' αὐτοῦ λαμβάνει τὰ Χρυσόβουλλα, καὶ ἐρχομένων αὐτῶν ἐν τῇ Μονῇ τὰ κατὰ τὴν ὁδὸν δένδρη, κλίνουσι τὰς κορυφὰς αὐτῶν.

# ΤΥΠΙΚΟΝ

## Τῇ Η΄ Σεπτεμβρίου. — Τὸ Γενέσιον τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

1. Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὴν Α΄ Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ Κύριε Ἐκέκραξα ψάλλομεν τὰ Ἰδιόμεμα, Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις, εἰς ΣΤ΄. Δόξα καὶ νῦν τὸ αὐτὸ, Εἴσοδος, Φῶς ἱλαρὸν, τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ γ΄. Ἰδιόμελα. Ἡ παγκόσμιος χαρὰ κ.τ.λ. Δόξα καὶ νῦν. Δεῦτε ἅπαντες πιστοὶ, τὸ Ἀπολυτίκιον. Ἡ γέννησίς σου Θεοτόκε, ἐκ τρίτου, καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον μετὰ τὸ Εὐλογητὸς ὁ Θεὸς, τὸ τρισάγιον εἰς τὸν Ν΄. ψαλμὸν, ψάλλεται ἡ Λιτὴ, εἶτα τὸ τρισάγειον αὖθις τὸ Ἀπολυτίκιον καὶ ὁ ἑξάψαλμος. Εἰς τὸ Θεὸς Κύριος τὸ Ἀπολυτίκιον ἐκ τρίτου, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος ἐξηρεύξατο ἡ καρδία μου, τὰ Καθίσματα κατὰ σειρὰν ἐκ δευτέρου, οἱ Ἀναβαθμοὶ τὸ α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου καὶ τὸ προκείμενον, Μνησθήσομαι τοῦ ὀνόματός σου, Πᾶσα πνοὴ, καὶ Εὐαγγέλιον Ἀναστάσα Μαριάμ. Ὁ Ν΄ χόμα, Δόξα Ταῖς τῆς Θεοτόκου, καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος Ἐλέησόν με ὁ Θεὸς, καὶ τὸ Ἰδιόμελον Αὕτη ἡμέρα Κυρίου· οἱ Κανόνες ἀμφότεροι μετὰ στίχου Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἀπὸ γ΄. ᾠδῆς ἡ Ὑπακοὴ Πύλιν κεκλησμένην· ἀφ' ΣΤ΄ τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον. αἱ Καταβασίαι Σταυρὸν χαράξας, καὶ ψάλλονται αἱ δύο τῆς Θ΄ ᾠδαὶ τῆς ἑορτῆς, ἡ Καταβασία Μυστικὸς εἶ Θεοτόκε· εἶτα τὰ β΄ Ἐξαποστειλάρια Εἰς τοὺς Αἴνους τὸ Προσόμοια εἰς δ΄. Δόξα καὶ νῦν Αὕτη ἡμέρα Κυρίου· Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον.

3. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα.

*Ἀντίφωνον α΄.*

Μνήσθητι Κύριε τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ. =

Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Εὐφραθᾶ εὕρωμεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. =

Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ. =

Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται. =

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ Σῶσον ἡμᾶς.

*Ἀντίφωνον β΄.*

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν. =

Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. =

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. =

Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς κ. τ. λ.

*Ἀντίφωνον γ΄.*

Ὧδε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν. =

Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. =

Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. =

Ἡ γέννησίς σου Θεοτόκε κ. τ. λ.

Εἰς τὴν Εἴσοδον, Δεῦτε προσκυνήσωμεν... ὁ ἐν Ἁγίοις θαυμαστὸς, τὸ Ἀπολυτίκιον Ἡ γέννησίς σου Θεοτόκε· καὶ τὸ Κοντάκιον Ἰωακεὶμ καὶ Ἄννα· ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως, Ἀλλότριον τῶν μητέρων ἡ παρθενία. Κοινωνικὸν Ποτήριον σωτηρίου, Εἴδομεν τὸ φῶς καὶ Ἀπόλυσις.



4. **Ε**ἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ Κύριε Ἐκέκραξα ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τῆς ἑορτῆς ΣΤ΄. Δόξα καὶ νῦν Σήμερον ὁ τοῖς νοεροῖς Θρόνοις· Εἴσοδος Φῶς ἱλαρὸν, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀναστάσιμα Στιχηρὰ, Δόξα καὶ νῦν Δεῦτε ἅπαντες πιστοί, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς δὶς καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθον μετὰ τὸν Ν΄ ψαλμὸν ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τῆς ἑορτῆς, καὶ τὰ Τριαδικὰ Ἄξιον ἐστὶν, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ Θεὸς Κύριος τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν. Εἶτα τὸ ψαλτήριον καὶ ὁ Πολυέλεος Ἐξηρεύξατο ἡ Καρδία μου, εἰς τὴν α΄ Στιχολογίαν Καθίσματα Ἀναστάσιμα β΄ καὶ τῆς ἑορτῆς Ἀναβόησον Δαβὶδ, εἰς β΄ ὡσαύτως Ἀναστάσιμα β΄ καὶ τὸ τῆς Ἐκ τῆς ῥίζης Ἰεσσαὶ, τὸ δὲ γ΄ Κάθισμα ἐκ δευτέρου, κα εὐθὺς ἡ Αἴτησις, ἡ Ὑπακοὴ καὶ οἱ Ἀναβαθμοὶ τοῦ ἤχου τῆς Παρακλητικῆς, τὸ προκείμενον τῆς ἑορτῆς Μνησθήσομαι τοῦ ὀνόματός σου, τὸ Πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλλιον Ἀναστᾶσα Μαριὰμ, τὸ Ἀνάστασιν Χριστοῦ θεασάμενοι καὶ ὁ Ν΄ χύμα, Δόξα Ταῖς τῆς Θεοτόκου, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος Ἐλέησόν με ὁ Θεὸς, καὶ τὸ Ἰδιόμελον Ἡ παγκόσμιος χαρὰ, Κανόνες ὁ Ἀναστάσιμος, καὶ οἱ τῆς ἑορτῆς μετὰ στίχου Ὑπεραγία Θεοτόκε, ἀπὸ γ΄ ᾠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χύμα, εἶτα τὸ κάθησμα τῆς ἑορτῆς Ἡ Παρθένος Μαριὰμ, ἀφ᾽ ΣΤ΄ Κοντάκιον καὶ οἶκος τῆς ἑορτῆς καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι Σταυρὸν χαράξας, καὶ ψάλλονται αἱ δύο τῆς Θ΄ ᾠδαὶ τῆς ἑορτῆς μετὰ στίχου Ὑπεραγία Θεοτόκε, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὰ δύο τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ΄ καὶ τῆς ἑορτῆς δ΄. Δόξα Αὕτη ἡμέρα Κυρίου, Καὶ νῦν Ὑπερευλογημένη, Δοξολογία Μ. καὶ τὸ Σήμερον σωτηρία.

6. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς ἑορτῆς μετὰ τοῦ Ὁ ἀναστὰς ἐκ νεκρῶν, Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς καὶ τὸ Κοντάκιον Ἰωακεὶμ καὶ Ἄννα,

Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως· Εἰς τὸ ἐξαιρέτως Ἀλλότριον τῶν μητέρων ἡ παρθενία, Κοινωνικὸν Ποτήριον σωτηρίου, Εἴδομεν τὸ φῶς καὶ Ἀπόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

## Εἰς τὸ Κύριε Ἐκέκραξα ψάλλομεν τὰ παρόντα ΣΤ' Ἰδιόμελα.

### Ἦχος πλ. β'. Σεργίου.

Σήμερον, ὁ τοῖς νοεροῖς θρόνοις ἐπαναπαυόμενος Θεὸς, θρόνον ἅγιον ἐπὶ γῆς ἑαυτῷ προητοίμασεν· ὁ στερεώσας ἐν σοφίᾳ τοὺς οὐρανοὺς, οὐρανὸν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατεσκεύασεν, ἐξ ἀκάρπου γὰρ ῥίζης, φυτὸν ζωηφόρον, ἐβλάστησεν ἡμῖν τὴν Μητέρα αὐτοῦ. Ὁ τῶν Θαυμασίων Θεὸς, καὶ τῶν ἀνελπίστων ἐλπὶς, Κύριε δόξα σοι.

### Ὁ αὐτός.

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί· ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφὼν, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε· καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν Εἴσοδον, τοῦ Ἱερέως τοῦ μεγάλου, μόνη καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

### Ὁ αὐτός.

Εἰ καὶ θείῳ βουλήματι, περιφανεῖς στεῖραι γυναῖκες ἐβλάστησαν, ἀλλὰ πάντων ἡ Μαρία τῶν γεννηθέντων, θεοπρεπῶς ὑπερέλαμψεν· Ὅτι καὶ ἐξ ἀγόνου παραδόξως τεχθεῖσα μητρὸς, ἔτεκεν ἐν σαρκὶ τὸν ἁπάντων Θεὸν, ὑπὲρ φύσιν ἐξ ἀσπόρου γαστρὸς, ἡ μόνη πύλη τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, ἣν διελθὼν κεκλεισμένην διεφύλαξεν·



καὶ πάντα σοφῶς οἰκονομήσας, ὡς οἶδεν αὐτὸς, πᾶσι τοῖς ἀνθρώποις, σωτηρίαν ἀπειργάσατο.

**Ὁ αὐτός. Στεφάνου Ἁγιοπολίτου.**

Σήμερον στειρωτικαὶ πύλαι ἀνοίγονται, καὶ πύλη παρθενικὴ θεία προέρχεται. Σήμερον καρπογονεῖν ἡ χάρις ἀπέρχεται, ἐμφανίζουσα τῷ κόσμῳ Θεοῦ Μητέρα, δι' ἧς τὰ ἐπίγεια τοῖς οὐρανοῖς συνάπτεται, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Ὁ αὐτός.**

Σήμερον ἡ στεῖρα Ἄννα τίκτει Θεόπαιδα, τὴν πασῶν τῶν γενεῶν προεκλεχθεῖσαν, εἰς κατοίκησιν τῷ παμβασιλεῖ, καὶ Κτίστῃ Χριστῷ τῷ Θεῷ εἰς ἐκπλήρωσιν τῆς θείας οἰκονομίας· δι' οἷς ἀνεπλάσθημεν οἱ γηγενεῖς, καὶ ἀνεκαινίσθημεν ἐκ τῆς φθορᾶς, πρὸς ζωὴν τὴν ἄληκτον.

**Δόξα, καὶ νῦν, ὁ αὐτός. Σεργίου.**

Τὸ *πρῶτον Ἰδιόμελον.* Σήμερον, ὁ τοῖς νοεροῖς θρόνοις.

**Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.**

**Γενέσεως τὸ ἀνάγνωσμα.**

Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαρρὰν, καὶ ἀπήντησε τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ· καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν· Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαὰκ, μὴ φοβοῦ· Ἡ γῆ ἐφ' ἧς σὺ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

καθεύδης ἐπ' αὐτῆς, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ Θάλλασαν, καὶ Λίβα. καὶ Βοῤῥᾶν, καὶ ἐπὶ Ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ, ἐγὼ μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς· καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαιμε πάντα ὅσα ἐλάλησά μοι. Καὶ ἐξεγέρθη Ἰακὼβ ἀπὸ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· Ὅτι ἔστι Κύριον ἐν τῷ τόπῳ τούτῳ, καὶ ἐγὼ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν. Ὡς φοβερὸς ὁ τόπος οὗτος! οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ Οὐρανοῦ.

## Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν, καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολὰς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, καὶ ἔσται κεκλεισμένη. Διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐπ' αὐτὴν, τοῦ φαγεῖν ἄρτον. Κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐτελεύσεται. Καὶ εἰσήγαγέ με κατα τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς Βοῤῥᾶν, κατέναντι τοῦ οἴκου· καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

## Παροιμιῶν τὸ ἀνάγνωσμα.

Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεσε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα· Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα



βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακοὺς, λήψεται ἑαυτῷ ἀτιμίαν. Ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οὗ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου· καὶ βουλὴ Ἁγίων, σύνεσις· Τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσει χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

## Εἰς τὴν Λιτὴν, Στιχηρὰ Ἰδιόμελα.

### Ἦχος α'. Στεφάνου Ἁγιοπολίτου.

Ἡ ἀπαρχὴ τῆς ἡμῶν σωτηρίας, λαοὶ σήμερον γέγονεν· ἰδοὺ γὰρ ἡ προορισθεῖσα ἀπὸ γενεῶν ἀρχαίων, Μήτηρ καὶ Παρθένος, καὶ δοχεῖον Θεοῦ; ἐκ στείρας γεννηθῆναι προέρχεται· ἄνθος ἐκ τοῦ Ἰεσσαὶ, καὶ ἐκ τῆς ῥίζης αὐτοῦ ῥάβδος ἐβλάστησεν. Εὐφραινέσθω Ἀδὰμ ὁ προπάτωρ, καὶ ἡ Εὔα ἀγαλλιάσθω χαίρουσα· ἰδοὺ γὰρ ἡ οἰκοδομηθεῖσα ἐκ πλευρᾶς τοῦ Ἀδὰμ, τὴν θυγατέρα καὶ ἀπόγονον, μακαρίζει ἐμφανῶς· Ἐτέχθη μοι γὰρ φησὶ λύτρωσις, δι' ἧς ἐκ τῶν δεσμῶν τοῦ Ἅδου ἐλευθερωθήσομαι. Ἀγαλλιάσθω ὁ Δαβὶδ κρούων τὴν κινύραν, καὶ εὐλογείτω τὸν Θεόν· ἰδοὺ γὰρ ἡ Παρθένος πρόεισιν ἐκ πέτρας ἀγόνου, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

### Ἦχος β'.

Δεῦτε φιλοπάρθενοι πάντες, καὶ τῆς ἁγνείας ἐρασταί· δεῦτε ὑποδέξασθε πόθῳ, τῆς παρθενίας τὸ καύχημα, ἐκ πέτρας βλαστάνουσαν στερεᾶς, τὴν πηγὴν τῆς ζωῆς, ἐκ τῆς ἀτεκνούσης τὸν βάτον, τοῦ ἀΰλου πυρὸς, τοῦ καθαίροντος, καὶ φωτίζοντος τὰς ψυχὰς ὑμῶν.

### Ὁ αὐτός. Ἀνατολίου.

Τίς ὁ ἦχος τῶν ἑορταζόντων γίνεται; Ἰωακεὶμ καὶ Ἄννα πανηγυρίζουσι μυστικῶς, Συγχάρητε ἡμῖν λέγοντες, Ἀδὰμ καὶ Εὔα σήμερον· ὅτι τοῖς πάλαι παραβάσει κλείσαοι Παράδεισον, καρπὸς εὐκλεέστατος ἡμῖν ἐδόθη, ἡ θεόπαις Μαρία, ἀνοίγουσα τούτοις πᾶσι τὴν εἴσοδον.

Ὁ αὐτός.

Ἡ προορισθεῖσα παντάνασσα, Θεοῦ κατοικητήριον, ἐξ ἀκάρπου σήμερον νηδύος προῆκται, τῆς Ἄννης ἠγλαϊσμένης, τῆς ἀϊδίου οὐσίας τὸ θεῖον τέμενος· δι' ἧς ἰταμὸς Ἅδης καταπεπάτηται· καὶ παγγενῆ Εὔα ἐν ἀσφαλεῖ ζωῇ εἰσοικίζεται· ταύτῃ ἐπαξίως ἐκβοήσωμεν· Μακαρία σὺ ἐν γυναιξὺ, καὶ ὁ καρπὸς τῆς κοιλίας σου εὐλογημένος.

**Δόξα, καὶ νῦν.**

Ἦχος πλ. δ'. Σεργίου Ἁγιοπολίτου.

Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν σαλπίσωμεν, πνευματικῇ κιθάρᾳ· ἡ γὰρ ἐκ σπέρματος Δαυῒδ, σήμερον τίκτεται, ἡ Μήτηρ τῆς ζωῆς τὸ σκότος λύουσα· τοῦ Ἀδὰμ ἡ ἀνάπλασις, καὶ τῆς Εὔας ἡ ἀνάκλησις· τῆς ἀφθαρσίας ἡ πηγὴ, καὶ τῆς φθορᾶς ἀπαλλαγὴ, δι' ἧς ἡμεῖς ἐθεώθημεν, καὶ τοῦ θανάτου ἐλυτρώθημεν· καὶ βοήσωμεν αὐτῇ σὺν τῷ Γαβριὴλ οἱ πιστοί· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, διὰ σοῦ χαριζόμενος ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον, Στιχηρὰ Ἰδιόμελα,

Ἦχος δ'. Γερμανοῦ Πατριάρχου.

Ἡ παγκόσμιος χαρὰ, ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος· ἥτις δι' ὑπερβολὴν ἀγαθότητος, ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν, Θεοτόκος γνωρίζεται. Αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, τῷ κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχ. **Ἄκουσον θύγατερ καὶ ἴδε.**

Δι' Ἀγγέλου προρρήσεως, γόνος πάνσεπτος, ἐξ Ἰωακεὶμ καὶ τῆς Ἄννης τῶν δικαίων, σήμερον προῆλθες Παρθένε, οὐρανὸς καὶ θρόνος Θεοῦ, καὶ δοχεῖον καθαρότητος, τὴν χαρὰν προμηνύουσα παντὶ τῷ κόσμῳ, τῆς ζωῆς ἡμῶν πρόξενε· κατάρας ἀναίρεσις, εὐλογίας ἡ ἀντίδοσις· Διὸ ἐν τῇ γεννήσει σου Κόρη θεόκλητε, τὴν εἰρήνην αἴτησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



Στίχ. **Τὸ πρόσωπόν σου λιτανεύσουσιν.**

Στεῖρα ἄγονος ἡ Ἄννα, σήμερον χεῖρας κροτείτω φαιδρῶς· λαμποφορείτω τὰ ἐπίγεια· βασιλεῖς σκιρτάτωσαν· Ἱερεῖς ἐν εὐλογίαις εὐφραινέσθωσαν ἑορταζίτω ὁ σύμπας κόσμος· ἰδοὺ γὰρ ἡ Βασίλισσα, καὶ ἄμωμος νύμφη τοῦ Πατρὸς, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαὶ ἀνεβλάστησεν· Οὐκ ἔτι γυναῖκες ἐν λύπαις τέξονται τέκνα· ἡ χαρὰ γὰρ ἐξήνθησε, καὶ ἡ ζωὴ τῶν ανθρώπων ἐν κόσμῳ πολιτεύεται. Οὐκ ἔτι τὰ δῶρα τοῦ Ἰωακεὶμ ἀποστρέφονται· ὁ θρῆνος γὰρ τῆς Ἄννης εἰς χαρὰν μετεβλήθη, Συγχάρητέ μοι λεγούσης, πᾶς ἐκλεκτὸς Ἰσραήλ· ἰδοὺ γὰρ δέδωκέ μοι Κύριος, τὸ ἔμψυχον παλάτιον τῆς θείας δόξης αὐτοῦ, εἰς κοινὴν εὐφροσύνην καὶ χαρὰν, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Δόξα, καὶ νῦν.**

Ἦχος πλ. δ'. Σεργίου Ἁγιοπολίτου.

Δεῦτε ἅπαντες πιστοὶ, πρὸς τὴν Παρθένον δράμωμεν· ἰδοὺ γὰρ γεννᾶται, ἡ πρὸ γαστρὸς προορισθεῖσα τοῦ Θεοῦ ἡμῶν Μήτηρ, τὸ τῆς παρθενίας τεκμήλιον, ἡ τοῦ Ἀαρὼν βλαστήσασα ῥάβδος, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαὶ, τῶν Προφητῶν τὸ κήρυγμα, καὶ τῶν δικαίων Ἰωακεὶμ καὶ Ἄννης τὸ βλάστημα. Γεννᾶται τοίνυν, καὶ ὁ κόσμος σὺν αὐτῇ ἀνακαινίζεται. Τίκτεται, καὶ ἡ Ἐκκλησία τὴν ἑαυτῆς εὐπρέπειαν καταστολίζεται. Ὁ ναὸς ὁ ἅγιος, τὸ τῆς Θεότητος δοχεῖον, τὸ παρθενικὸν ὄργανον, ὁ Βασιλικὸς θάλαμος, ἐν ᾧ τὸ παράδοξον τῆς ἀπορρήτου ἑνώσεως, τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ φύσεων, ἐτελεσιουργήθη μυστήριον· ὃν προσκυνοῦντες ἀνυμνοῦμεν, τὴν τῆς Παρθένου πανάμωμον γέννησιν.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ἡ γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν· καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν· καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

# ΕΙΣ ΤΟΝ ΟΡΘΟΝ

**Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.**

**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Ἀναβόησον Δαυΐδ, τί ὤμοσέ σοι ὁ Θεός; Ἅ μοι ὤμωσε φησί, καὶ ἐκπεπλήρωκεν ἰδοὺ, ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον, ἐξ ἧς ὁ πλαστουργὸς, Χριστὸς ὁ νέος Ἀδὰμ, ἐτέχθη Βασιλεὺς, ἐπὶ τοῦ θρόνου μου· καὶ βασιλεύει σήμερον, ὁ ἔχων τὴν βασιλείαν ἀσάλευτον. Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Δόξα καὶ νῦν, τὸ αὐτό.**

**Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.**

Ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἐξ ὀσφύος τοῦ Δαυΐδ, ἡ θεόπαις Μαριὰμ, τίκτηται σήμερον ἡμῖν, καὶ νεουργεῖται ἡ σύμπασα καὶ θεουργεῖται. Συγχάρητε ὁμοῦ, ὁ οὐρανὸς καὶ ἡ γῆ· αἰνέσατε αὐτὴν, αἱ πατριαὶ τῶν ἐθνῶν, Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα. Ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

**Δόξα, καὶ νῦν, τὸ αὐτό.**

**Μετὰ τὸν Πολυέλαιον, Κάθισμα.**

**Ἦχος πλ. δ΄. Τὸ προσταχθὲν μυστικῶς.**

Ἀγαλλιάσθω οὐρανὸς γῆ εὐφραινέσθω· ὁ τοῦ Θεοῦ γὰρ οὐρανὸς, ἐν γῇ ἐτέχθη, ἡ Θεόνυμφος αὕτη ἐξ ἐπαγγελίας. Ἡ στεῖρα βρέφος θηλάζει τὴν Μαριάμ· καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακεὶμ, Ῥάβδος λέγων ἐτέχθη μοι, ἐξ ἧς τὸ ἄνθος Χριστὸς, ἐβλάστησεν ἐκ ῥίζης Δαυΐδ. Ὄντως θαῦμα παράδοξον!

**Δόξα καὶ νῦν. Τὸ αὐτό.**

**Οἱ Ἀναβαθμοὶ, τὸ α΄ ἀντίφωνον τοῦ τετάρ. ἤχου**



**Προκείμενον, Ἦχος δ΄.**

Μνησθήσομαι τοῦ ὀνόματός σου.

*Στίχ.* *Ἐξηρεύξατο ἡ καρδία μου.*

**Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Λουκᾶν.**

**Ἀναστᾶσα Μαριάμ. ὁ Ν.**

**Δόξα. Ταῖς τῆς Θεοτόκου.**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.**

**Εἶτα Στίχ. εἰς Ἦχον δ΄. Ἐλέησόν με ὁ Θεός.**

**Καὶ τὸ Ἰδιόμελον. Ἡ παγκόσμιος χαρὰ,**

**ὅρα εἰς τὸν Στίχον.**

**Οἱ Κανόνες, τοῦ Κυρίου Ἰωάννου μετὰ τῶν Εἱρμῶν εἰς η΄. καὶ τοῦ Κυρίου Ἀνδρέου τὰ τροπάρια εἰς ΣΤ΄.**

**Ὁ Κανὼν τοῦ Κυρίου Ἰωάννου.**

**Ὠδὴ α΄. Ἦχος β΄. ὁ Εἱρμός.**

«Δεῦτε λαοὶ, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ τῷ διελθόντι θάλασσαν, καὶ ὁδηγήσατε, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων ὅτι δεδόξασται».

Δεῦτε πιστοὶ Πνεύματι θείῳ γηθόμενοι, τὴν ἐξ ἀκάρπου σήμερον, ἐπηδημήσασαν, εἰς βροτῶν θωτηρίαν, ἀειπάρθενον κόρην, ὕμνοις τιμήσωμεν.

Χαῖρε σεμνὴ, Μήτηρ καὶ δούλη Χριστοῦ τοῦ Θεοῦ, ἡ τῆς ἀρχαίας πρόξενος, μακαριότητος, τῶν ἀνθρώπων τῷ γένει, σὲ πάντες ἐπαξίως, ὕμνοις δοξάζουσιν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἡ τῆς ζωῆς τίκτεται σήμερον γέφυρα, δι' ἧς βροτοὶ ἀνάκλησιν, τῆς καταπτώσεως, τῆς εἰς Ἅδου εὑρόντες, Χριστὸν τὸν ζωοδότην, ὕμνους δοξάζουσιν.

## Ὁ Κανὼν τοῦ Κυρίου Ἀνδρέου.

### Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὁ Εἱρμός.

«Τῷ συντρίψαντι πολέμοις, ἐν βραχίονι αὐτοῦ, καὶ διαβιβάσαντι, τὸν Ἰσραὴλ ἐν Ἐρυθρᾷ θαλάσσῃ, ἄσωμεν αὐτῷ, ὡς λυτρωτῇ ἡμῶν Θεῷ ὅτι δεδόξασται».

Χορεύτω πᾶσα κτίσις, εὐφραινέσθω καὶ Δαυΐδ, ὅτι ἐκ φυλῆς αὐτοῦ, καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ, προῆλθε ῥάβδος, ἄνθος φέρουσα τὸν Κύριον, καὶ λυτρωτὴν τοῦ παντός.

Ἡ Ἁγία τῶν Ἁγίων, ἐν ἁγίῳ ἱερῷ βρέφος ἀνατίθεται, ἀνατραφῆναι ἐκ χειρὸς Ἀγγέλου· πάντες οὖν πιστῶς συνεορτάσωμεν, ἐν τῇ γεννήσει αὐτῆς.

Στεῖρα ἄγονος ἡ Ἄννα, ἀλλ' οὐκ ἄτεκτος Θεῷ, ἤδη γὰρ προώριστο, ἐκ γενεῶν ἁγνῆς Παρθένου Μήτηρ· ὅθεν ὁ τῆς κτίσεως ἐβλάστησε, Κτίστης ἐν δούλου μορφῇ.

Σὲ τὴν ἄσπιλον ἀμνάδα, τὴν τὸ ἔριον Χριστῷ, μόνην ἐκ κοιλίας σου προσαγαγοῦσαν, τὴν ἡμῶν οὐσίαν πάντες, ἐκ τῆς Ἄννης τεκτομένην σε, ὕμνοις γεραίρομεν.

**Δόξα.**

Τρία ἄναρχα δοξάζω, τρία ἅγια ὑμνῶ, τρία συναΐδια, ἐν οὐσιότητι μιᾷ κηρύττω· εἷς γὰρ ἐν Πατρὶ Υἱῷ καὶ Πνεύματι, δοξολογεῖται Θεός.

**Καὶ νῦν. Θεοτόκιον.**

Τίς ἑώρακε παιδίον, ὃ οὐκ ἔσπειρε πατήρ, γάλακτι τρεφόμενον; ἢ ποῦ τεθέαται παρθένος Μήτηρ; Ὄντως ὑπὲρ ἔννοιαν ἀμφότερα, Θεογεννῆτορ ἁγνή.



**Καταβασία.**

«Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν, ἐπ' εὖρους διαγράψας, τὸ ἀήττητον ὅπλον· διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν ὅτι δεδόξασται.»

### Ὠδὴ γ'. Ὁ Εἱρμός.

«Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε».

Ἀμέμπτως τῷ Θεῷ πολιτευσάμενοι, τὴν πάντων ἐκύησαν σωτηρίαν, οἱ θεόφρονες γεννήτορες, τῆς τὸν Κτίστην τεκούσης καὶ Θεὸν ἡμῶν.

Ὁ πᾶσι τὴν ζωὴν πηγάζων Κύριος, ἐκ στείρας προήγαγε τὴν Παρθένον· ἣν εἰσδῦναι κατηξίωσε, μετὰ τόκον φυλάξας ἀδιάφθορον.

Τῆς Ἄννης τὸν καρπὸν Μαρίαν σήμερον, τὴν βότρυν κυήσασαν ζωηφόρον, ὡς Θεοτόκον ἀνυμνήσωμεν, προστασίαν τε πάντων καὶ βοήθειαν.

**Εἱρμὸς ἄλλος.**

«Ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας μου ἐν Θεῷ μου, ἐπλατύνθη ἐπ' ἐχθροὺς μου τὸ στόμα μου, εὐφράνθην ἐν σωτηρίῳ σου».

Εὐλογημένη ἡ κοιλία σου σώφρων Ἄννα· καρπὸν γὰρ ἤνθησε παρθενίας, τὴν ἀσπόρως τὸν τροφέα τῆς κτίσεως, τεκοῦσαν καὶ λυτρωτὴν Ἰησοῦν.

Σὲ μακαρίζει Ἀειπάρθενε πᾶσα κτίσις, ἐξ Ἄννης σήμερον γεννηθεῖσαν, τὴν ἐκ ῥίζης Ἰεσσαὶ ῥάβδον ἄχραντον, τὸ ἄνθος Χριστὸν βλαστήσασαν.

Σὲ ἀνωτέραν πάσης κτίσεως Θεοτόκε, δεικνύων ἄχραντε ὁ Υἱός σου, τὴν ἐξ Ἄννης μεγαρύνει σου γέννησιν, καὶ πάντας εὐφραίνει σήμερον.

Ἀνατραφεῖσα εἰς τὰ Ἅγια τῶν Ἁγίων, Παρθένε ἄχραντε Θεοτόκε, ἀνωτέρα ἀνεδείχθης τῆς κτίσεως, τὸν κτίστην σαρκὶ κυήσασα. **Δόξα.**

Σὲ προσκυνοῦμεν Πάτερ ἄναρχε τῇ αὐσίᾳ ὕμνου ἄχρονον τὸν Υἱόν σου, καὶ τὸ Πνεῦμα συναΐδιον σέβομεν, ὡς ἕνα τὰ τρία φύσει Θεόν. **Καὶ νῦν. Θεοτοκίον.**

Τὸν φωτοδότην καὶ ἀρχίζωον τῶν ἀνθρώπων τεκοῦσα ἄχραντε Θεοτόκε, ἀνεδείχθης θησαυρὸς τῆς ζωῆς ἡμῶν, καὶ πύλη τοῦ ἀπροσίτου φωτός. **Καταβασία.**

»Ῥάβδος εἰς τύπον τοῦ μυστηρίου παραλαμβάνεται· τῷ βλαστῷ γὰρ προκρίνει τὸν ἱερέα· τῇ στειρευούσῃ δὲ πρώην Ἐκκλησίᾳ νῦν ἐξήνθησε ξύλον Σταυροῦ, εἰς κράτος καὶ στερέωμα«.

**Ἡ Ὑπακοή, Ἦχος β΄.**

Πύλην ἀδιόδευτον ὁ Προφήτης, μόνῳ τῷ Θεῷ ἡμῶν τηρουμένην, τὴν Παρθένον ἐκάλεσε· δι' αὐτῆς διῆλθεν ὁ Κύριος, ἐξ αὐτῆς προῆλθεν ὁ Ὕψιστος, καὶ πάλιν ἐσφραγισμένην κατέλιπε, λυτρούμενος ἐκ φθορᾶς, τὴν ζωὴν ἡμῶν. **Εἰδὲ βούλει, εἰπὲ Κάθισμα.**

**Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.**

Ἡ Παρθένος Μαριάμ, καὶ Θεοτόκος ἀληθῶς, ὡς νεφέλη τοῦ φωτός, σήμερον ἔλαμψεν ἡμῖν, καὶ ἐκ δικαίων προέρχεται εἰς δόξαν ἡμῶν. Οὐκ ἔτι ὁ Ἀδὰμ κατακρίνεται· ἡ Εὔα τῶν θεσμῶν ἠλευθέρωται· καὶ διὰ τοῦτο κράζομεν βοῶντες, ἐν παρρησίᾳ τῇ μόνῃ Ἁγνῇ· χαρὰν μηνύει, ἡ γέννησίς σου, πάσῃ τῇ οἰκουμένῃ.



**Δόξα, καὶ νῦν, τὸ αὐτό. Ὠδὴ δ΄. ὁ Εἱρμός.**

»Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας, καὶ ἐδόξασάσε, μόνε φιλάνθρωπε«.

Ἀνυμνοῦμεν σε Κύριε, τὸν τοῖς πιστοῖς σωτήριον λιμένα, παρασχόντα πᾶσι τὴν σὲ κυήσασαν.

Σὲ θεόνυμφε καύχημα, πᾶσι Χριστὸς ἀνέδειξαι καὶ κράτος, ταῖς ὑμνοῦσι πίστει σοῦ τὸ μυστήριον.

Ἀπειρόγαμε Δέσποινα, ταῖς σαῖς λιταῖς λυτρούμενοι πταισμάτων, εὐγνωμόνως πάντες σὲ μακαρίζομεν.

**Εἱρμὸς ἄλλος.**

»Ἀκήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, ὅτι ἀρρήτῳ βουλῇ Θεὸς ὢν ἀΐδιος, ἐκ τῆς Παρθένου προῆλθες σαρκωθείς· Δόξα τῇ δόξῃ σου Χριστέ, δόξα τῇ δυνάμει σου«.

Τὴν πάνσεπτον γέννησιν τῆς Θεοτόκου, ψαλμοῖς καὶ ὕμνοις, δοξολογοῦντες πιστοί, τὸν ἄψευστον τὸν τῷ Δαυῒδ προομόσαντα καρπὸν, ἐκ τῆς ὀσφύος παρασχεῖν, πίστει προσκυνήσωμεν.

Διήνοιξας Κύριε τὴν μήτραν Σάρρας, καρπὸν ἐν γήρᾳ τὸν Ἰσαὰκ παρασχών· ὁ αὐτὸς καὶ σήμερον, τῇ εὐσεβεῖ Ἄννῃ δέδωκας Σωτὴρ, ἐκ μήτρας γόνιμον καρπὸν, ἄσπιλον Μητέρα τὴν σήν.

Ἐπήκουσας Κύριε τῆς προσοχῆς μου, λεγέτω Ἄννα ἐπαγγελίας καρπὸν, παρασχών μοι σήμερον τὴν ἐκ πασῶν γενεῶν καὶ γυναικῶν προορισθεῖσαν, εἰς ἁγνὴν ἄχραντον Μητέρα σου.

Συγχαίρει σοι σήμερον θεόφρον Ἄννα, ἡ οἰκουμένη· τοῦ λυτρωτοῦ γὰρ αὐτῆς, τὴν μητέρα ἤνθησας, τὴν ἐκ ῥίζης βλαστήσασαν Δαυῒδ, δυνάμεως ῥάβδον ἡμῖν, φέρουσα τὸ ἄνθος Χριστόν. **Δόξα.**

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Δοξάζω σε ἄναρχε Τριάς, ἀμέριστε τῇ οὐσίᾳ, χερουβικῶς ἐκβοῶν, τῇ πηλίνῃ γλώσσῃ μου, Ἅγιος Ἅγιος Ἅγιος, ὁ ὢν καὶ διαμένων ἐς ἀεὶ εἷς Θεὸς ἀΐδιος.

**Καὶ νῦν. Θεοτοκίον.**

Πεπλήρωνται Ἄχραντε, τῶν θεηγόρων αἱ προφητεῖαι, ἐν τῇ γεννήσει τῇ σῇ, τῶν πιστῶς καλούντων σε, σκηνὴν καὶ πύλην καὶ ὄρος νοητόν, βάτον καὶ ῥάβδον Ἀαρὼν, φυεῖσαν ἐκ ῥίζης Δαυΐδ.

**Καταβασία.**

»Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα».

**Ὠδὴ ε΄. ὁ Εἱρμός.**

Ὁ σκιόγραφον ἀχλὺν, αἰνιγμάτων σκεδάσας, καὶ τῶν πιστῶν ἐκβάσει τῆς ἀληθείας, διὰ τῆς Θεόπαιδος, καταυγάσας τὰς καρδίας, καὶ ἡμᾶς τῷ φωτί σου, Χριστὲ καθοδήγησον.

Ἀνυμνήσωμεν λαοὶ, τὴν τῶν πάντων αἰτίαν, τοῦ καθ' ἡμᾶς γενέσθαι τὸ αἴτιον· ἧς τὸν τύπον ἔχαιρον, ἀξιούμενοι Προφῆται, ἐναργῆ σωτηρίαν καρπούμενοι.

Τῆς ἀνίκμου ὁ βλαστὸς ῥάβδου, τοῦ Ἱερέως, τῷ Ἰσραὴλ ἐδήλωσε πρόκρισιν· καὶ νῦν τὴν λαμπρότητα, τῶν φυσάντων παραδόξως, δαδουχεῖ τὸ ἐκ στείρας πανένδοξον κύημα.

**Εἱρμὸς ἄλλος.**

»Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· Κύριε ὁ Θεὸς ἡμῶν κτῆσαι ἡμᾶς. Κύριε, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν».

Ἄχραντος σου ἡ γέννησις, Παρθένε Ἄχραντε· ἄφραστος καὶ ἡ σύλληψις, καὶ ἡ ὠδίς· ἄρρητος ὁ τόκος σου νύμφη ἀνύμφευτε Θεὸς γὰρ ἦν, ὅλος φορέσας ἐμέ.



Σήμερον εὐφραινέσθωσαν, Ἀγγέλων τάγματα· ᾄσμασι χορευέτωσαν οἱ ἐξ Ἀδάμ· ἐτέχθη γὰρ ῥάβδος, τὸ ἄνθος βλαστάνουσα, Χριστὸν τὸν μόνον λυτρωτὴν τοῦ Ἀδάμ.

Σήμερον Εὔα λέλυται τῆς καταδίκης, λέλυται καὶ ὁ Ἀδὰμ, τῆς ἀρχαίας, ἀρᾶς, ἐπὶ τῇ γεννήσει τῇ σῇ βοῶν ἄχραντε· Ἐν σοὶ τῆς φθορᾶς ἐλυτρώθημεν.

Δόξα σοι τῷ δοξάσαντι, τὴν στεῖραν σήμερον· ἔτεκε γὰρ, τὴν ῥάβδον τὴν ἀειθαλῆ, ἐξ ἐπαγγελίας, ἐξ ἧς ἀνεβλάστησεν Χριστὸς, τὸ ἄνθος τῆς ζωῆς ἡμῶν.

**Δόξα.**

Ἄναρχον προσκυνοῦμέν σε Τριὰς ἀμέριστε, ἄκτιστον συναΐδιον καὶ συμφυῆ, ἐν μιᾷ οὐσίᾳ, τρισὶν ὑποστάσεσιν, ὑπερφυῶς κηρυττομένην ἀεί.

**Καὶ νῦν. Θεοτοκίον.**

Γέγονεν ἡ κοιλία σου Ἁγία Τράπεζα· ἔμεινεν ἡ ἁγνεία σου ὥσπερ τὸ πρὶν, ἀσυνὴς Παρθένε· Χριστὸς γὰρ ὁ ἥλιος, ὡς ἐκ παστοῦ νυμφίος ὤφθη ἐκ σοῦ.

**Καταβασία.**

»Ὢ τρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ὁ Βασιλεὺς καὶ Κύριος· δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθεὶς, Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν».

**Ὠδὴ ΣΤ΄. Ὁ Εἱρμός.**

Πρὸς Κύριον ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε, Σύ με ἀνάγαγε, ἐκ πυθμένος Ἅδου δέομαι, ἵνα ὡς λυτρωθῇ, ἐν φωνῇ αἰνέσεως, ἀληθείας τε πνεύματι θύσω σοι».

Πρὸς Κύριον ἐν θλίψει στειρώσεως ἐβόησαν, τῆς θεομήτορος, οἱ θεόφρονες γεννήτορες, καὶ ταύτην γενεαῖς γενεῶν ἐκύησαν, εἰς κοινὴν σωτηρίαν καὶ καύχημα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Ἐδέξαντο οὐράνιον δῶρον ἀξιόθεον, τῆς θεομήτορος, οἱ θεόφρονες γεννήτορες, αὐτῶν τῶν Χερουβὶμ ὑπερφέρον ὄχειμα, τὴν τοῦ Λόγου καὶ Κτίστου λοχεύτριαν.

### Εἱρμὸς ἄλλος.

»Ὡς ὕδατα θαλάσσης φιλάνθρωπε, τὰ κύματα τοῦ βίου χειμάζει με· ἀλλ' ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου, εὔσπλαχνε Κύριε».

Ὑμνοῦμεν τὴν ἁγίαν σου γέννησιν, τιμῶμεν καὶ τὴν ἄσπορον σύλληψιν, σοῦ νύμφη θεόνυμφε καὶ Παρθένε, σκιρτῶσι δὲ σὺν ἡμῖν Ἀγγέλων τάξεις καὶ τῶν Ἁγίων ψυχαί.

Ἁγίαν τῶν Ἁγίων ὑπάρχουσαν, οἱ σώφρονες πατέρες σου Ἄχραντε, ἀνέθετόσε ἐν οἴκῳ Κυρίου, ἀνατραφῆναι σεμνῶς, καὶ εἰς Μητέρα ἑτοιμασθῆναι αὐτῷ.

Αἱ στεῖραι καὶ μητέρες χορεύσατε· θαρσεῖται καὶ σκιρτήσατε ἄγονοι· ἡ ἄτεκνος γὰρ στεῖρα, τὴν Θετόκον βλαστάνει, ἥτις λύσει τῶν ὠδίνων τὴν Εὔαν καὶ τῆς ἀρᾶς τὸν Ἀδάμ.

Ἀκούω τοῦ Δαυΐδ μελωδοῦντός σοι· Ἀχθήσονται παρθένοι ὀπίσω σου, ἀχθήσονται εἰς ναὸν Βασιλέως· καὶ σὺν αὐτῷ σε κἀγώ, θυγατέρα τοῦ Βασιλέως ὑμνῶ. **Δόξα.**

Ἐν σοὶ τὸ τῆς Τριάδος μυστήριον· ὑμνεῖται καὶ δοξάζεται ἄχραντε· Πατὴρ γὰρ ηὐδόκησε, καὶ ὁ Λόγος ἐσκήνωσεν ἐν ἡμῖν, καὶ θεῖον Πνεῦμα σοὶ ἐπεσκίασε.

### Καὶ νῦν. Θεοτοκίον.

Χρυσοῦν θυμιατήριον γέγονας· τὸ πῦρ γὰρ ἐν γαστρί σου ἐσκήνωσεν, ὁ Λόγος ἐκ Πνεύματος τοῦ Ἁγίου, καὶ ἐν ἀνθρώπου μορφῇ καθωράθη Θεογεννῆτορ ἁγνή.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤ



### Καταβασία.

»Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν κόσμον φωτίσαντος«.

### Κοντάκιον, Ἦχος δ'. Αὐτόμελον.

Ἰωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου· αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

### Ὁ Οἶκος.

Ἡ προσευχὴ ὁμοῦ καὶ στεναγμὸς, τῆς στειρώσεως καὶ ἀτεκνώσεως Ἰωακεὶμ τε καὶ Ἄννης, εὐπρόσδεκτος, καὶ εἰς τὰ ὦτα Κυρίου ἐλέληθε, καὶ ἐβλάστησαν καρπὸν ζωηφόρον τῷ κόσμῳ· ὁ μὲν γὰρ προσευχὴν ἐν τῷ ὄρει ἐτέλει, ἡ δὲ ἐν παραδείσῳ ὄνειδος φέρει· ἀλλὰ μετὰ χαρᾶς, ἡ στεῖρα τίκτει τὴν Θεοτόκον καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

### Συναξάριον.

***Τῇ Η'. τοῦ αὐτοῦ μηνὸς τὸ Γενέθλιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας.***

### Στίχοι.

**Πάσας ἀληθῶς, Ἄννα, νικᾷς μητέρας,**
**Μήτηρ ἕως ἂν σὴ γένηται θυγάτηρ.**
**Ἐξάγαγε πρὸς φῶς Θεομήτορα ὀγδόῃ Ἄννα.**

Ἧς ὁ πατὴρ Ἰωακεὶμ ἐκ βασιλικῆς φυλῆς εἷλκε τὸ γένος. Οὗτος, εἰ καὶ διπλᾶ τὰ δῶρα, αὐτοῦ τῷ Θεῷ προσέφερεν ὡς φιλόθεος καὶ πλούσιος, ἀλλὰ τὴν ἀπαιδίαν ὠνειδίζετο. Ἐπὶ τούτῳ δη-

χθεὶς τὴν καρδίαν, αὐτὸς μὲν ἐν τῷ ὄρει, ἡ δὲ τούτου σύνευνος Ἄννα ἐν τῷ παραδείσῳ δάκρυσι τὸν Θεὸν ἱκέτευον. Ὃς καὶ παρέσχεν αὐτοῖς καρπὸν κοιλίας ἅγιον, τὴν Ὑπεραγίαν Θεοτόκον. Ἵνα δὲ καὶ τῆς Ἄννης ἐξ ἑκατέρων τῶν μερῶν ἴδωμεν τὰ γνωρίσματα, τὸ ἀκριβὲς διηγήσομαι.

Εἰκοστὸς τρίτος ἀπὸ γένους Δαυῒδ καὶ Σολομῶντος εὑρίσκεται ὁ Ματθάν· ὃς ἔγειμε Μαρίαν ἐκ τῆς Ἰούδα φυλῆς, καὶ ἐγέννησεν Ἰακὼβ, τὸν πατέρα Ἰωσὴφ τοῦ τέκτονος, καὶ θυγατέρας τρεῖς, Μαρίαν, Σωβὴν καὶ Ἄνναν. Καὶ ἡ μὲν Μαρία γεννᾷ Σαλώμην τὴν μαῖαν· ἡ δὲ Σωβὴ γεννᾷ τὴν Ἐλισάβετ· ἡ Ἄννα γεννᾷ τὴν Θεοτόκον· ὥς εἶναι τὴν Θεοτόκον, ἐγγονὴν τοῦ Ματθὰν, καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ, τὴν δὲ Ἐλισάβετ καὶ τὴν Σαλώμην, ἀνεψιὰς μὲν τῆς Ἄννης, ἐξαδέλφας δὲ τῆς Θεοτόκου.

***Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι αὐτάδελφοι, Ροῦφος καὶ Ρουφιανὸς, ξίφει τελειοῦνται.***

***Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Σεβῆρος ξίφει τελειοῦται.***

***Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Ἀρτεμίδωρος περὶ τελειοῦται.***

***Ὁ Ἅγιος νεομάρτυς Ἀθανάσιος ὁ ἐν Θεσσαλονίκῃ μαρτυρήσας κατὰ τὸ 1774 ἀγχόνῃ τελειοῦται.***

***Ταῖς τῶν Ἁγίων σου πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς Ἀμήν.***

## Διήγησις περὶ ἀγάπης πάνυ ὠφέλιμος.

Ἱερεύς τις μετ' εὐλαβοῦς Διακόνου, ἀγάπην τῷ Κυρίῳ φίλην εἰς ἀλλήλους κτησάμενοι, διὰ δαιμονικῆς σκαιότητος εἰς ἔχθραν περιτραπέντες, ἐπὶ πολὺ ἔμειναν ἀδιάλλακτοι. Ἐπεὶ δὲ ἐπ' αὐτῷ τῷ μίσει τελευτῆσαι τὸν Ἱερέα συνέβη, ὁ διάκονος ἤσχαλλεν, ὅτι μὴ ζῶντι τῷ Ἱερεῖ τὴν ἔχθραν διέλυσεν. Καί τινι τῶν εὐδιακρίτων τὸ συμβὰν κοινωσάμενος, ὑπὸ τούτου πρός τινα τῆς ἐρήμου μοναστὴν γενέσθαι παρρηγγυᾶτο, ὁ δὲ, μάλα προθύμως τοὺς ἐρημικωτέρους τόπους περινοστῶν, τὸν ἰατρὸν ἐπεζήτει.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ



Καὶ δή τινα καταλαβὼν γέροντα, τούτῳ τὴν μνησικακίαν ἀπεκάλυψεν, ἐναργῆ πληροφορίαν ζητῶν παρ' αὐτοῦ τῆς ἀφέσεως· πρὸς ὃν ὁ γέρων. Ὁ πιστῶς αἰτῶν, λαμβάνει· καὶ τῷ κρούοντι ἀνοιγήσεται, οὐκ ἐμὸς ὁ λόγος, φησὶν, ἀδελφέ· καί σοι, ὡς ἐπ' ἀγαθῷ σπεύδοντι ταχεῖαν τοῦ ζητουμένου λύσιν λαβεῖν παρέξει ὁ Κύριος. Ὅθεν ἐλήλυθας ἀνάστρεφε· καὶ ὀψίας ἐν τῷ ναῷ τῆς μεγάλης Ἐκκλησίας γενόμενος, πρὸ πάντων ὑποκεκρυμμένος, τὰς ὡραίας πύλας κατάλαβε, καὶ τον πρῶτον ἐν αὐταῖς εἰσβαλόντα κράτησον, καὶ ἐξ ἡμῶν αὐτὸν προσαγόρευσον, δοὺς αὐτῷ καὶ τὸ ἐσφραγισμένον τοῦτο πιταίκον, καὶ παρ' αὐτῷ ἔσται σοι πάντως βεβαία τῶν σφαλέντων ἡ ἐπανόρθωσις.

Τότε ὁ Διάκονος, ὡς πατὴρ διετάξατο, ἀωρὶ τῶν νυκτῶν τοῦ ναοῦ καταλαμβάνει τὸ προπύλαιον· καὶ παρευθὺς ὁ δηλωθεὶς ὑπὸ τοῦ Πατρὸς ἀνεφάνη· καὶ τοῦτον ὁ Διάκονος ἀσπασάμενος, τὸ γραμμάτιον τοῦ γέροντος ἐπιδίδωσιν, ἀνακαλύψας αὐτῷ τὸ ἐπακολουθῆσαν τοῦ δράματος. Ὀξὺς δὲ ὢν ὁ ἀνὴρ, οἰκονομίας χάριν τὸ γενόμενον ἔκρινε, καὶ ὅλον ἑαυτὸν καταβρέχων ταῖς δάκρυσιν, ἔλεγε. Τίς εἰμι ἐγὼ ὁ ἐλάχιστος, ἵνα κατατολμήσω τοιούτου ἐγχειρήματος; ὅμως ταῖς εὐχαῖς καταθαρρήσας τοῦ ἀποστείλαντός σε, πρὸς τὸ προκείμενον τρέπομαι.

Καὶ δὴ ἐπ' αὐταῖς ταῖς κεκλεισμέναις πύλαις ὡς ἵστατο, τὰς χεῖρας ὑψώσας πρὸς οὐρανὸν, καὶ γόνυ κλίνας, τὴν κεφαλὴν εἰς τὸ ἔδαφος τέθεικεν, ὑποψιθυρίζων τῇ προσευχῇ· καὶ μετὰ μικρὸν ἀναστὰς «φρίττω, λέγειν, κατανοῶν τὸ μυστήριον, καὶ τὸ πρὸς Θεὸν τοῦ ἀνδρὸς εὐπαρρησίαστον!» ὡς εἴρηκεν· Ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου, Κύριε· τὸ προπύλαιον αὐτῷ αὐτομάτως ἠνέοκτο, καὶ τούτου συνεισελθόντες τῷ Διακόνῳ, ἐπὶ τὴν αὐλὴν τοῦ νάρθηκος ἔστησαν. Αὖθίς τε πάλιν πρὸς τὰς ἐκεῖσε τοῦ ναοῦ ἐξ ἀργύρου πύλας γενόμενοι, ὁ ἱερὸς ἐκεῖνος ἀνὴρ, πρὸς τὸν Διάκονον ἔφησεν. Ἐνταῦθα στῆθι, καὶ περαιτέρω μὴ πρόβαινε.

Ἐκεῖνος δὲ, τὴν συνήθην καὶ πάλιν ἐπὶ τῷ φλοιᾷ ποιήσας μετάνοιαν, τὰς ἀργυραίας πύλας κεκλεισμένας οὔσας ἀνέῳξε· καὶ εἰσελθὼν ἐν τῷ ναῷ, ξένον θέαμα ἐδέχετο ἐν ἑαυτῷ. Ἐκ γὰρ τῆς ὀροφῆς τοῦ ναοῦ λυχνία φωτεινὴ ἐπελθοῦσα πρὸς τῇ κεφαλῇ τοῦ ἀνδρὸς, ἐφωταγώγει τὸ ἱερόν· ἀλλὰ καὶ τούτῳ προσευχομένῳ συνεί-

πετο. Ὡς δὲ πρὸς αὐτὸ λοιπὸν τὸ θυσιαστήριον ἔφθασε, κἀκεῖ προσκλίνας, τὴν κεφαλήν, ἠρέμα ἔξω πρὸς τὸν Διάκονον γίνεται, καὶ πάλιν αὐτομάτως πᾶσαι αἱ θύραι ἐκλείσθησαν. Τότε ἀγωνία καὶ δειλία τὸν Διάκονον ἔλαβε, μὴ τολμῶντα τῷ ἀνδρὶ πλησιάσας τὸ σύνολον· εἶχε γὰρ ὡς ἔλεγεν, ἀπὸ τῆς εὐχῆς, ὡς Ἀγγέλου δεδοξασμένον τὸ πρόσωπον, ὡς λοιπὸν λογισμοῖς τὸν Διάκονον βάλλεσθαι, λέγοντα μὴ Ἄγγελος ἐστὶν ὁ φαινόμενος, καὶ οὐκ ἄνθρωπος. Ἀλλ' οὐδὲ τοῦτο διέλαθε τὸν φαινόμενον· φησὶ γὰρ πρὸς τὸν Διάκονον. Τί τοῖς λογισμοῖς δι' ἐμὲ πολιορκῇ καὶ ταράττῃ, ὦ ἄνθρωπε; Πίστευσον, ὅτι κἀγὼ χοϊκὸς εἰμὶ ἄνθρωπος, καὶ ἐξ αἵματος καὶ σαρκός, καὶ εὐαγοῦς οἴκου, χαρτουλάριος τὸ ἐπάγγελμα, ἐκ τῶν ἐκεῖσε προσόδων τὰ πρὸς ζωὴν ποριζόμενος· ἀλλ' ἡ πάντα καλῶς διεξάγουσα πρόνοια δι' εὐτελῶν πολλάκις, μεγάλα εἴωθε διεξάγειν τεράστια· ὅμως ἀδελφέ, πρὸς τὸ προκείμενον ἀπίωμεν.

Καὶ ἄμφω πρὸς τὸν φόρον εὐθυδρομήσαντες, τὸν ναὸν ἐκεῖσε τῆς Θεοτόκου κατέλαβον· καὶ πρὸς τὰς κεκλεισμένας πύλας ἤδη γενόμενοι τοῦ ναοῦ, διὰ προσευχῆς πάλιν κἀκείνας ἀνέῳξε. Καὶ πρὸς αὐτὸ γενόμενος τὸ θυσιαστήριον, τὴν εὐχὴν ἀπετέλει κατὰ τὸ σύνηθες· καὶ τὸν Διάκονον, ἔξω ἑστῶτα, καταλαβόντος μετ' ἐκπλήξεως τό, Κύριε ἐλέησον λέγοντα, αἱ πύλαι μόναι ἄφνω πάλιν ἐκλείσθησαν. Εἶτα πάλιν τὸν ἐν Βλαχέρναις τῆς Θεοτόκου καταλαμβάνει ναόν. Ἔλεγε δὲ ὁ Διάκονος, ὅτι οὕτως ἡμᾶς ὑπελάμβανον ἐν τοῖς ναοῖς τὴν πορείαν ποιεῖσθαι, ὡς μηδὲ πτῆσιν ὀρνέου τῇ ἡμῶν ὀξύτητι παραβάλλεσθαι. Καὶ δὴ πρὸς τὰς πύλας τῆς Θεοτόκου γενόμενοι αὐτομάτως καὶ αὗται τῷ ἀνδρὶ προσανεῴχθησαν· καὶ τὴν εὐχὴν κἀκεῖσε ποιησάμενος, δάκρυσι καταβρέχων τὰς παρειάς, τῆς Ἁγίας Σοροῦ τὰς πύλας κατέλαβε· καὶ ἐν αὐταῖς τὸν διάκονον ἐπιστήσας, βλέπειν τρανῶς τῶν εἰσερχομένων παρρηγγυᾶτο τὴν κατανόησιν. Καὶ δὴ πρὸς τὴν φλοιὰν τὴν ἐξ ἔθνους εὐχὴν ποιησαμένῳ, αἱ τῶν πυλῶν ἐπάρσεις αὐτῷ τὴν εἴσοδον παραχώρησαν· καὶ πρὸς τοῦ ναοῦ γενόμενος τὸ μεσαίτατον, τὰ γόνατα τῷ ἐδάφει ἐπερείσας, ἀνενδότως ἐν αὐτῷ ἐποίει τὴν δέησιν.

Ὡς δὲ μετὰ ταῦτα, ὅρκους ἡμῖν ἐπιστώσατο ὁ Διάκονος, διεβεβαίου ὅτι, ὡς πρὸς τὴν βαθμίδα τῆς πύλης, ἐν ᾗ ἱστάμην θαμ-



βούμενος ὀφθαλμοφανῶς, εἶδον ὡσεὶ διάκονον τινά, ἐκ τοῦ θυσιαστηρίου ἐξερχόμενον, καὶ ἐν τῇ χειρὶ κατέχοντα θυμιατήριον, καὶ θυμιῶντα τὸ ἱερὸν Ἁγίασμα. Μετὰ δὲ μικρᾶς τινος ὥρας διάστημα, ὡς κληρικοὺς τινὰς εἶδον εἰσερχομένους, ἱερέων στολὴν περικειμένους λευκοφανῆ· καὶ πάλιν ἱερέων ἄλλο σύστημα φωτεινόν, πορφυροῦν ποδήρη περικειμένους εἰσέρχεσθαι, καὶ τούτους ἀμφοτέρους χορείαν ἐγείραντας, ἐπᾴδειν μέλος μάλα τερπνὸν καὶ ἐξαίσιον, ὡς μηδὲν ἕτερον καταλαβεῖν τὸν Διάκονον δύνασθαι, εἰμὶ μόνον τό, Ἀλληλούϊα. Καὶ μετὰ τὸ τὴν εὐχὴν τελέσαι τὸν χαρτουλάριον, ἐξελθεῖν, καὶ εἰπεῖν πρὸς τὸν Διάκονον· Ἀδελφέ, ἔνδον τοῦ ναοῦ ἀκωλύτως γενόμενος πρὸς τοὺς τὴν ἀριστερὰν χορείαν ἐπέχοντας ἱερεῖς στόχασαι, εἰ δύναιο κατανοῆσαι τὸν μεθ' οὗ τῇ μνησικακίᾳ ἀδιάλλακτος ἔμεινας. Τότε εἰσελθὼν ὑπότρομος ὁ Διάκονος, σπουδῇ πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον ἔξεισιν εἰρηκώς, μὴ δύνασθαι πρὸς τοὺς ἐκεῖσε τὸν ἐπ' ἔχθρᾳ τὸν βίον καταλύσαντα ἱερέα ἰδεῖν. Εἶτα πάλιν πρὸς αὐτὸν ὁ ἀνθρωπόμορφος Ἄγγελος, εἰσελθών, κατάθεε καὶ τὴν χορείαν τὴν δὲ τὴν δεξιάν, εἴρηκε. Καὶ δὴ πρὸς αὐτὴν γενόμενος ὁ Διάκονος, καθαρῶς, ἑστῶτα ἐν αὐτῇ γνωρίζει τὸν ζητούμενον ἔφασκε. Καὶ πρὸς αὐτὸν ὁ μακάριος. Εἰ τοῦτο ἀκριβῶς κατενόησας, εἰπὲ πορευθεὶς τάδε. Νικήτας ὁ Χαρτουλάριος ἔξω ἑστώς, ἐλθεῖν σε προσφωνεῖ. Καὶ πορευθεὶς ὁ Διάκονος, κατὰ τὴν διαταγήν, τὸν ἱερέα ἐκ τῆς δεξιᾶς πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον συνεξάγει χορείας, ᾧ καὶ πραείᾳ ἔλεξε τῇ φωνῇ· Κύριε πρεσβύτερε, διαλλάγηθι τῷ ἀδελφῷ, διὰ τὸ ἀμφοτέρους ἐν τῇ σῇ ἀθρόᾳ μεταβολῇ ἀσυμφώνους μεῖναι σφάλματι.

Τότε γόνυ ἀμφότεροι κλίναντες ἐν ἁπλῷ φιλήματι τὴν ἔχθραν διέλυσαν· καὶ ὁ μὲν ἱερεὺς τὸν ναὸν εἰσέδυ, καὶ τὴν αὐτοῦ χορείαν κατέλαβεν· ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος ἔλαβε τὸν Διάκονον, καὶ τῇ βλοιᾷ τοῦ ἱεροῦ ἁγιάσματος προσπεσόντος, αἱ πύλαι τούτου θείᾳ δυνάμει ἐκλείσθησαν· καὶ μέρος τι τῆς ὁδοῦ διανύσαντες, ἄμφω ἔστησαν· καὶ ὁ τοῦ Θεοῦ ἄνθρωπος οὕτω πῶς ἔφη πρὸς τὸν Διάκονον· Ἀδελφὲ σώζων σώζου, καὶ τὴν σεαυτοῦ ψυχὴν περιποίησαι, καὶ τῷ πρὸς τὴν ἐμὴν εὐτέλειαν Πατρὶ σὲ ἀποστείλαντι, εἰπὲ πορευθείς. Τῶν εὐχῶν σου ἡ καθαρότης, καὶ ἡ πρὸς Θεὸν παρρησία

καὶ νεκρὸν πρὸς εἰρήνην ἐξαναστῆναι δύναται, ἡμῶν εἰς τοῦτο μηδὲν τὸ παράπαν συμβαλλομένων· καὶ τοῦτο εἰπὼν, ἐξ ὀφθαλμῶν τοῦ Διακόνου ἐγένετο. Ἐκεῖνος δὲ, προσκυνήσας τὸ ἔδαφος, ἐν ᾧ οἱ τοῦ θαυμαστοῦ ἵσταντο πόδες ἀνδρὸς, τὴν πρὸς τὸν γέροντα πορείαν ἐκπεπληγμένος ἤνυε δοξάζων καὶ Εὐλογῶν τὸν Θεόν· ὅτι αὐτῷ πρέπει δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

# ΠΕΡΙΓΡΑΦΗ

## ΤΗΣ ΙΕΡΑΣ ΣΕΒΑΣΜΙΑΣ ΚΑΙ ΒΑΣΙΛΙΚΗΣ ΜΟΝΗΣ

## ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ

## ΤΟΥ ΚΥΚΚΟΥ

### ΕΠΙΦΗΜΙΖΟΜΕΝΗΣ ΚΑΤΑ ΤΗΝ ΝΗΣΟΝ ΚΥΠΡΟΝ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ὅλα βέβαια τοῦ Θεοῦ τὰ Χαρίσματα εἶναι γεμᾶτα χρηστότητος καὶ τελειότητος καθ' ἕνα εἰς τοῦ λόγου του, ἐπειδὴ κανένα ἀτελείωτον Χάρισμα καὶ ἀγαθὸν πρόεισιν ἀπὸ τὸ ἄκρον τέλος καὶ τελειοποιοῦν καὶ τελεταρχικὸν ἀγαθὸν, ὡς ἄριστα περὶ τούτου ὁ Ἀπόστολος Ἰάκωβος ἐφιλοσόφησε λέγων: «Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν »δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ Πατρὸς τῶν »φώτων»· ἀμὴ τὸ πλέον ὑψηλὸν καὶ σεβάσμιον, ὁποῦ ἔδωκεν εἰς τὸν ἄνθρωπον ἤδη πλασθέντα, δὲν μοῦ φαίνεται νὰ εἶναι ἄλλο παρὰ ἡ Σοφία· διατὶ μετ' ἐκεῖνο τελειοῦται εἰς τὸ εἶναι ἄνθρωπος καὶ ἔρχεται εἰς τὸν κόσμον ἐκεῖνον, διὰ τὸν ὁποῖον ὁ Θεὸς τὸν ἔπλασεν, ἤγουν εἰς τὴν ὁμοίωσιν τοῦ Πλάστου του, καθ' ὅσον εἶναι δυνατὸν νὰ ὁμοιωθῇ τὸ ὑλικὸν μὲ τὸ ἄϋλον, εὐθύνων τὰς γνωστικὰς αὐτοῦ καὶ ὀρεκτικὰς δυνάμεις εἰς τὸ Θεῖον θέλημα· καὶ ἂν ἡ τελειότης τοῦ ἀνθρώπου εἶναι τελειοτέρα καὶ ὑψηλοτέρα ἀπὸ τὴν τῶν ἄλλων ζώων τελειότητα, τὴν ἐν τῷ αἰσθητῷ τούτῳ Κόσμῳ, καὶ ἐκεῖνο λοιπὸν, ὁποῦ τὴν τελειώνει, εἶναι καλλιώτερον, ἀνώτερον καὶ ὑψηλότερον, ὅλων τῶν λοιπῶν τελειωτικῶν. Διὰ τοῦτο ὁ ἔνθεος Παῦλος, ἀπαριθμούμενος τὰ τοῦ Πνεύματος Χαρίσματα, εἰς τὴν πρώτην τάξιν κατατάττει καὶ τίθησι τὴν Σοφίαν, λέγων· «ἑκάστῳ δίδοται ἡ »φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον· ᾧ μὲν γὰρ δίδοται »διὰ τοῦ Πνεύματος Λόγος Σοφίας, ἄλλῳ δὲ Λόγος Γνώσεως, κατὰ »τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ Πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ

»Χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι»· ἐν οἷς Πρῶτον ἔταξε τὸν λόγον τῆς Σοφίας· Δεύτερον δὲ, ὡς ὑποβεβηκότα, τὸν Λόγον τῆς Γνώσεως· Τρίτον δέ που καὶ κατωτέρω τὴν Πίστιν, καὶ ἐπειδὴ προετίμασα τὸν Λόγον ἀπὸ τὰς ἐνεργείας τῶν Θαυμάτων, διὰ τοῦτο τὰ ἐνεργήματα τῶν Δυνάμεων καὶ τὰ τῶν Ἰαμάτων Χαρίσματα ἐν τῇ κατωτάτη τίθησι χώρᾳ. Καὶ ὁ Ἡσαΐας ὁμοίως λέγει, ὅτι εἰς τὸν ἐκ τῆς ῥίζης Ἰεσσαὶ ἀνθήσαντα πρῶτον ἐπαναπαύεται Πνεῦμα Σοφίας καὶ Συνέσεως καὶ ἐφεξῆς τὰ λοιπὰ Πνεύματα, ἤγουν τὰ Χαρίσματα τοῦ Πνεύματος· καὶ ὁ Ἰησοῦς ἐπαγγέλλεται ἐξαποστεῖλαι Σοφοὺς εἰς ἐκείνους, ὁποῦ ἤθελαν πιστεύση εἰς αὐτὸν, καὶ λέγει οὕτως· «ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ἡμᾶς Προφήτας καὶ Σοφοὺς καὶ »γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε»· καὶ ὁ Δαβίδ, ὅταν ἐπρόκοπτεν εἰς τὸ κρεῖττον καὶ καλλιώτερον κατορθώνωντας τὰς ἀρετὰς, εἰς τὴν Σοφίαν ἐκαυχᾶτο καὶ ἔλεγε, πῶς νὰ ἐκατάλαβε τὰ Μαρτύρια τοῦ Κυρίου ὑπὲρ τοὺς Πρεσβυτέρους· αὐτὸς γὰρ ὁ Θεὸς ἐσόφισεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ τὰς ἐντολάς του· ὀλισθήσας δὲ καὶ ἐκκλίνας τῆς εὐθείας ὁδοῦ τὴν Σοφίαν εἶχε μείζονα κατήγορον, ὅτι τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς Σοφίας ἐδηλώθησαν εἰς αὐτὸν, αὐτὸς δὲ ταῦτα παριδὼν τοσοῦτον ἐξώκειλε καὶ ἐγκρέμνισεν. Ὁ δὲ υἱὸς αὐτοῦ Σολομὼν, ὁ διὰ τὴν ὑπερβολικὴν Σοφίαν τὴν ἐκ Θεοῦ δωρηθεῖσαν αὐτῷ Σοφὸς κατ' ἐξοχὴν ὀνομασθεὶς, πόσα ἐγκώμια πλέκει καταπάνω εἰς αὐτὴν τὴν Σοφίαν, εἰς τὸ Βιβλίον, ὁποῦ ὑπέγραψε καὶ τὸ ὠνόμασε Σοφίαν, ἀπὸ τὸ Ἕβδομον Κεφάλαιον ἕως τὸ Ἑνδέκατον, στήσας περὶ αὐτῆς τῆς Σοφίας πραγματείαν ὁλόκληρον, προτρέπων καὶ παρακινῶν πάντας, Βασιλεῖς τε καὶ ἰδιώτας πρὸς τὴν ἐκείνης περιποίησιν, ὡσὰν ὁποῦ ὑπερέχει αὐτὴ ἡ Σοφία τὰ σκῆπτρα τῶν Βασιλέων καὶ τῶν Θρόνων, ὑγείας τε καὶ εὐμορφίας καὶ χρυσοῦ καὶ ἀργύρου καὶ παντοίας περιουσίας καὶ τῶν λοιπῶν, ὅσα εἰσὶ τοῖς ἀνθρώποις περισπούδαστα. Ταύτης τῆς Σοφίας τὸ ὕψος καὶ τὴν δόξαν καὶ τὴν ὠφέλειαν, ὁποῦ δίδει εἰς τὸν Κόσμον, νὰ ἠθέλαμεν ἐπιχειρισθῇ νὰ ἑρμηνεύσωμεν, οὔτε νοῦς οὔτε ἡ γλῶσσα οὔτε ὁ χρόνος ἐξήρκησεν ἂν ἡμῖν. Διὰ τοῦτο πέμποντες τοὺς φιλομαθεῖς εἰς τὰ ῥηθέντα τοῦ Σολομῶντος Κεφάλαια παρακινοῦμεν νὰ τρυφήσωσιν ἐκεῖ τὸν Παράδεισον τῶν ἐκείνης



ἐγκωμίων καὶ ἡμεῖς εἰς τὸ προκείμενον ἔλθωμεν. Ἐπειδὴ λοιπὸν καὶ ταῦτα οὕτως ἔχει, (ἀπορία) ἄξιον εἶναι νὰ ἐρωτήσῃ τινὰς τί παθὼν ὁ Παῦλος μὲ τοὺς λοιποὺς Ἀποστόλους καὶ μὲ ὅλον ὁποῦ γνωρίζοντες αὐτοὶ οἱ Ἀπόστολοι πῶς εἶναι ἐκεῖνοι οἱ ἴδιοι Σοφοὶ, τοὺς ὁποίους ὑπεσχέθη ὁ Κύριος νὰ πέμψῃ εἰς τὸν Κόσμον διὰ ἐκείνους ὁποῦ ἔχουσι νὰ πιστεύσουν εἰς τὸ Πανάγιόν του Ὄνομα, καὶ λέγουσιν αὐτοὶ οἱ Ἀπόστολοι μὲ ὅλον τοῦτο εἰς ἄλλους κάποιους τόπους, ὅτι ἡ Σοφία εἶναι καταργουμένη καὶ ἀπολλυμένη καὶ προκρίνουσιν ἀπὸ αὐτὴν τὴν Σοφίαν τὴν μωρίαν τοῦ κηρύγματος, ὅμοιον ποιοῦντες τοῖς τὸ σκότος ἐπαινοῦσι καὶ τὸ φῶς διαβάλλουσι. Λέγουσι λοιπὸν ὁ μὲν ἕνας ἀπὸ αὐτοὺς, ὁ Ἀπόστολος Παῦλος· ὁ Χριστὸς μὲ ἀπέστειλεν εὐαγγελίσασθαι οὐκ ἐν Σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ τουτέστι καταφρονεθῇ, ὁ Σταυρὸς τοῦ Κυρίου· ὕστερον φέρει καὶ μαρτυρίαν πρὸς βεβαιοτέραν τοῦ λόγου τούτου ἀσφάλειαν ἀπὸ τοῦ Ἡσαΐου καὶ λέγει· γέγραπται γάρ· ἀπολῶ τὴν Σοφίαν τῶν Σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω· ποῦ Σοφός; ποῦ Γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν Σοφίαν τοῦ Κόσμου τούτου; τὸ ὁποῖον σοῦ φαίνεται νὰ εἶναι ὕβρις τῆς Σοφίας. Καὶ οὐ μόνον ὁ Παῦλος ἔχει τοιαύτην γνώμην παρ' ἑαυτῷ, ἀμὴ καὶ τοὺς ἄλλους παρακινούμενος λέγει· μηδεὶς ἑαυτὸν ἐξαπατάτω, εἴτις δοκεῖ Σοφὸς εἶναι ἐν ὑμῖν, ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω, ἵνα γίνηται Σοφός· ἡ γὰρ Σοφία τοῦ Κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι· γέγραπται γάρ· ὁ δρασσόμενος τοὺς Σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν· καὶ πάλιν λέγει· Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν Σοφῶν ὅτι εἰσὶ μάταιοι. Ὁ δὲ Ἀπόστολος Πέτρος λέγει καὶ αὐτὸς, ὅτι οὐ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ περιουσίαν, ἀλλ' ἐπόπται γεννηθέντες τῆς ἐκείνου μεγαλειότητος. Ἐκ τούτων οὖν τῶν δοκούντων διαβάλλειν τὴν Σοφίαν, ἤθελε νὰ εἰπῇ τινὰς ὅτι ἀγωνίζονται οἱ αὐτοὶ Ἀπόστολοι νὰ προσάψωσι μῶμον καὶ κατηγορίαν εἰς τὴν στράταν τῆς ἀρετῆς (διότι αὐτὴ εἶναι ἡ παίδευσις τῆς Σοφίας), περισσότερον δὲ ὅμως εἰς τὸ νὰ ὁμοιωθῇ τινὰς μὲ τὸν Θεόν· διότι τί ἄλλο πρᾶγμα εἶναι ἡ Φιλοσοφία παρὰ τάχα τὰ ὁμοιωθῇ τινὰς μὲ τὸν Θεὸν κατὰ τὸ

δυνατόν; Τὰ ὅσα λοιπὸν εἶπον (λύσις) οἱ Ἀπόστολοι δὲν λαμβά-
νονται τοιούτῳ τρόπῳ· ἀπὸ αὐτὰ τὰ ἴδια λόγια τῶν Ἀποστόλων,
ἠμπορεῖ νὰ εὕρῃ τινὰς τὴν ἐξήγησιν τοῦ νοήματος, ἀνίσως καὶ ἔχῃ
προσοχὴν μὲ ἀκρίβειαν. Δύο λογιῶν εἶναι ὁ τρόπος τῆς Σοφίας· ὁ
ἕνας τρόπος λέγεται ἁπλῶς Σοφία καὶ Σοφία Θεοῦ· ὁ δὲ ἄλλος
Σοφία τοῦ Κόσμου τούτου καὶ τοῦ αἰῶνος τούτου· λέγεται καὶ ἀν-
θρωπίνη καὶ Σοφία τοῦ λόγου ὀνομάζεται, ἤγουν μόνον μὲ λόγον
συνίσταται καὶ ἄλλα τοιαῦτα παρόμοια· καὶ ἡ μὲν πρώτη καὶ ἁπλῶς
Σοφία εἶναι ἐκείνη, ἡ ὁποία ἀπὸ τὰ κτίσματα γνωρίζει τὸν κτίστην
καὶ ἑρμηνεύει νὰ τὸν λατρεύωμεν ἀναβιβάζουσα τὸν νοῦν ἡμῶν ἀπὸ
τὴν κάτω ὕλην εἰς τὸν ἄϋλον τεχνίτην καὶ δημιουργὸν τῶν ὁρατῶν
πάντων καὶ ἀοράτων. Ἡ δευτέρα εἶναι ἐκείνη, ἡ ὁποία εἰς τὰ
κτίσματα μόνον ἐναπομένουσα καταβιβάζει εἰς τὴν κτίσιν τὴν δόξαν
τοῦ κτίσαντος καὶ ἀποπλανᾷ τόν ἄνθρωπον μακρὰν ἀπὸ τὸν Ποιη-
τήν του, δουλεύουσα μόνον ἐν τῷ αἰῶνι τούτῳ καὶ τῷ παρόντι Κό-
σμῳ τοῖς εἰς τὰ ἔνυλα καὶ φθαρτὰ ἐπτοημένοις, ἐν δὲ τῷ μέλλοντι
αἰῶνί τε Κόσμῳ καταργουμένην καὶ ἀπολλυμένην, ὡς ἀπολέσασαν
τοὺς ἐξακολουθήσαντας αὐτῇ. Διὰ τὴν πρώτην Σοφίαν λέγει ὁ Παῦ-
λος, πῶς ὁ Θεὸς τὴν ἀπεκάλυψεν εἰς τὸν Κόσμον, διὰ νὰ γνωρίσῃ
ὁ Κόσμος μὲ τὸ μέσον αὐτῆς τὸν Θεόν. Ὁ Θεὸς ἐφανέρωσε τὸ γνω-
στὸν αὐτοῦ τοῖς ἀνθρώποις· τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως Κό-
σμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις
καὶ θειότης· ἐπειδὴ ὅμως ἐν τῇ Σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ Κό-
σμος διὰ τῆς Σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας
τοῦ Κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Διὰ τὸν δεύτερον τρόπον
τῆς Σοφίας λέγει· βλέπετε τὴν κλῆσιν ἡμῶν, Ἀδελφοὶ, ὅτι οὐ πολ-
λοὶ Σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ εὐγενεῖς, ἀλλὰ τὰ μωρὰ τοῦ
Κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα τοὺς Σοφοὺς καταισχύνῃ. Ποίους Σο-
φοὺς ἐννοεῖ ἐδῶ ὁ Ἀπόστολος; ὄχι ἐκείνους, ὁποῦ ἔχουν τὴν ἀλη-
θινὴν καὶ Θείαν Σοφίαν· δὲν ἐννοεῖ ἐκείνους, ὄχι, ἀμὴ ἐννοεῖ ἐκεί-
νους, οἱ ὁποῖοι νομίζοντες καὶ φαντάζοντες πῶς νὰ εἶναι Σοφοὶ,
διὰ νὰ καταλάβωσι τὴν γνῶσιν τῶν κτισμάτων, ἐμωράνθησαν περὶ
τὴν κτίσιν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ, ἐν ὁμοιώματι
εἰκόνος φθαρτοῦ ἀνθρώπου. Οἱ τοιοῦτοι λέγονται Σοφοὶ μὲν. ἀλλὰ



κατὰ σάρκα, διότι μόνον τὰ σαρκικὰ δογματίζουσι καὶ τὰ ἀνθρώπινα, μὲ συλλογισμοὺς τῆς ἐντέχνου Σοφίας. μηδὲν ὅλως συγχωροῦντες τῷ Πνεύματι· διὰ τοῦτο καὶ ψυχικοὺς τοὺς ὀνομάζει ὁ αὐτὸς Ἀπόστολος· ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ ἐστι καὶ οὐ δύναται γνῶναι ὅτι πνευματικῶς ἀνακρίνεται. Οἱ τοιοῦτοι, ὅταν ἀκούσωσι τὰ θαύματα τῆς Πίστεως ἡμῶν, μυκτηρίζοντες καὶ περιγελῶντες τοὺς Κήρυκας λέγουσι· τί ἂν θέλῃ, τί ζητεῖ, τί ταράττει, τί συγχύζει ὁ σπερμολόγος οὗτος; τί θέλει νὰ λέγῃ καὶ νὰ κηρύττῃ; ἢ πάλιν τοὺς τοιούτους κήρυκας οἱ τοιοῦτοι λεγόμενοι Σοφοὶ φοβερίζοντές τους ἀγριεύουσι καταπάνω των καὶ φωνάζουσιν· αὐτοὶ εἶναι ὁποῦ ἀνακατώνουσι καὶ συγχύζουν καὶ ταράττουν ἡμῖν τὴν πόλιν, καὶ πάντα ἡμῶν τὰ δόγματα ὀνομάζουσι μανίας καὶ μωρίας, τὰ ὁποῖα ὑπερβαίνουσιν ἀσυγκρίτως τὴν ἐκείνων ὑψηλὴν καὶ μετέωρον νομιζομένην Σοφίαν, καθὼς λέγει ὁ Ἀπόστολος Παῦλος· ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστὶ, διατὶ ἐκεῖνο, ὁποῦ αὐτοὶ δὲν ἠμπόρεσαν νὰ κάμωσι μὲ ὅλην τους τὴν Σοφίαν, ἤγουν τὸ νὰ λυτρώσωσι τοὺς ἀνθρώπους ἀπὸ τὴν πλάνην τῶν εἰδώλων καὶ ἀπὸ τὰ αἰσχρὰ ἔργα νὰ τοὺς φέρωσιν εἰς τὴν Θεογνωσίαν καὶ σωφρονισμὸν, ἐδυνήθησαν καὶ ἠμπόρεσαν οἱ παρ' αὐτοῖς νομιζόμενοι μωροὶ καὶ ἀσθενεῖς, ἐξουθενημένοι τε καὶ ἀγενεῖς. Ὅταν λέγωσι λοιπὸν οἱ Ἀπόστολοι τὴν Σοφίαν ἀπολλυμένην καὶ καταργουμένην, ἐννοοῦσιν ἐκείνην, ὁποῦ χωρίζει τὸν ἄνθρωπον ἀπὸ τὸν Χριστὸν καὶ τὸ κατ' αὐτὸν Εὐαγγέλιον, ἡ ὁποία μὲ τὸ νὰ μὴ φθάνῃ ἕως τὴν ζωὴν τὴν αἰώνιον, λέγεται φθειρομένη καὶ ψευδὴς, πρὸς ἀντιδιαστολὴν τῆς Θείας καὶ ἀληθινῆς, ἥτις οὐκ ἀφαιρεθήσεταί ποτε ἀπὸ τῶν περιποιουμένων αὐτῆς. Καὶ ὅταν πάλιν λέγωσιν οἱ Ἀπόστολοι πῶς δὲν εὐαγγελίζονται ἐν Σοφίᾳ λόγου, ἐννοοῦσι μόνον περὶ τῆς ἐν λόγῳ μόνῳ καὶ κομψείᾳ κειμένης, ἡ ὁποία τὴν ἀκοὴν γοητεύσασα καὶ ἐπ' ὀλίγον τέρψασα καὶ γλυκάνασα, ἀπῆλθε μηδὲν βελτιώσασα ἐπ' ἀρεταῖς τὸν ἀκούοντα· διότι, ἂν ἤθελε διορθωθῇ ὁ Κόσμος μὲ τοιαύτην ἔντεχνον Σοφίαν, δικαίως ἂν ἤθελεν ἀναφέρεσθαι ἡ καύχησις εἰς τὰς ἀνθρωπίνας τέχνας· ἀλλ' ὁ λόγος μου καὶ τὸ Κήρυγμά μου (λέγει ὁ Ἀπόστολος Παῦλος οὐκ ἔστιν ἐν πειθοῖς ἀνθρωπίνης Σοφίας λόγοις, ἀλλ' ἀποδείξει Πνεύματος καὶ δυνάμεως,

ἵνα ἡ Πίστης ἡμῶν μὴ ᾖ ἐν Σοφίᾳ ἀνθρώπων ἀλλ' ἐν δυνάμει Θεοῦ. Δὲν ἀρνοῦνται ὅμως τὴν ἀληθινὴν Σοφίαν οἱ 'Απόστολοι, διότι εἰς ἄλλο μέρος πάλιν λέγει ὁ αὐτὸς Παῦλος· «Σοφίαν λαλοῦμεν ἐν τοῖς »τελείοις, Σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου. οὐδὲ τῶν ἀρχόντων τοῦ »αἰῶνος τῶν καταργουμένων, ἀλλὰ λαλοῦμεν Σοφίαν Θεοῦ ἐν Μυ»στηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν ὁ Θεὸς πρὸ τῶν αἰώ»νων εἰς δόξαν ἡμῶν». Τὸ δὲ, ἐμώρανεν ὁ Θεὸς τὴν Σοφίαν τοῦ Κόσμου τούτου, δηλοῖ ὅτι ἀπέδειξεν αὐτὴν μωρὰν μὴ δυνηθεῖσαν νὰ κατορθώσῃ ἐκεῖνο. ὁποῦ ἐκατώρθωσεν ὁ Σταυρὸς καὶ οἱ ψαράδες οἱ 'Απόστολοι ἔκαμαν καὶ ἐκατώρθωσαν μὲ τὴν δύναμιν τοῦ Θεοῦ καὶ ἐκεῖνο, ὁποῦ παρακινεῖ νὰ εἶναι εἰς τὴν μωρίαν οἱ εὐσεβοῦντες, δὲν ἐννοεῖται τοῦτο ἁπλῶς μόνον, ἀλλὰ λέγει ἐν τῷ αἰῶνι τούτῳ· «εἴ »τις δοκεῖ Σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γέ»νηται Σοφός·» ὥσαν νὰ ἔλεγε τρόπον τινά· ὅποιος κατὰ τὴν γνωμην τοῦ Κόσμου σοφιστεύεται καὶ ζητεῖ νὰ μάθῃ μὲ ἀκρίβειαν. μὲ λόγον καὶ ἀπόδειξιν τὰ ὑπὲρ φύσιν διδάγματα τῆς Εὐσεβείας, ἐκεῖνος βέβαια ἀρνεῖται τὸ Κήρυγμα τοῦ Σταυροῦ. Διὰ τοῦτο λοιπὸν, ὅποιος καὶ ἂν εἶναι ἐκεῖνος, πρέπει νὰ ἀφήσῃ τας τοιαύτας φαντασίας καὶ νὰ μακρυνθῇ ἀπὸ τοὺς βιαστικοὺς συλλογισμοὺς, ἀναγκαζόμενος νὰ καταλάβῃ τὰ ὅσα δὲν εἶναι καταληπτὰ καὶ νὰ προσδράμῃ μὲ ἁπλότητα χωρίς τινα περιέργειαν εἰς τὴν φιλανθρωπίαν τοῦ Δεσπότου Θεοῦ τῶν ὅλων καὶ νὰ δεχθῇ χωρὶς τινὰ πανουργοδόλιον ἐξέτασιν τὰ τῆς πίστεως (διότι ἡ τοιαύτη Σοφία δὲν εἶναι ἀναγκαία πρὸς σωτηρίαν), καὶ μὲ τέτοιον τρόπον γίνεται Σοφὸς ὁ τοιοῦτος, ὅποιος καὶ ἂν εἶναι ἐκεῖνος, ἐπειδὴ καὶ σῴζεται ἐν Χριστῷ 'Ιησοῦ καὶ καθὼς προστάζει ἡ Πίστις μας κάθε ἕνα πιστὸν νὰ γίνεται νεκρὸς, ἐὰν θέλῃ νὰ ζήσῃ, καὶ ἡ νέκρωσις αὕτη δὲν βλάπτει, μάλιστα καὶ ὠφελεῖ ἐπειδὴ καὶ γίνεται αἰτία ζωῆς· τέτοιας λογῆς προστάζει νὰ γίνεται καὶ τινὰς μωρὸς εἰς τοῦτον τὸν Κόσμον, ἤγουν κοντὰ εἰς τοὺς Φιλοσόφους τοῦ Κόσμου, διατὶ ἀπὸ τοῦτο γεννᾶται ἡ ἀληθινὴ Σοφία τῆς αἰωνίου ζωῆς. Τότε δὲ γίνεται μωρὸς ὁ ἄνθρωπος εἰς τὸν Κόσμον, ὅταν καταφρονῶντας τὴν ἔξωθεν Σοφίαν νὰ εἶναι βεβαιωμένος πῶς δὲν τὸν ὠφελεῖ παντελῶς ἡ ἔξω Σοφία διὰ τὴν σωτηρίαν τῆς ψυχῆς του διὰ μέσου τῆς Πίστεως τοῦ 'Ιησοῦ Χριστοῦ,



Η' Θεοτόκος τῷ Ἱερῷ Λουκᾷ, προσαγγέλλει, Ἱστορῆσαι τὸ Θεῖον αὐτῆς ἀντίτυπον. Ἄγγελος δ' αὐτῷ Τρεῖς Σανίδας κομίζει, τῷ τὸν Συγγραφέα

Ἀλλὰ πρὸς τί τέλος ὁ λόγος μας οὗτος προετέθη καὶ ἐμάκρυνεν οὕτως; ὅμως τὸ πρᾶγμα τὸ συμβὰν μὲ ἀναγκάζει οὕτω τὸν λόγον μεθοδεῦσαι καὶ διὰ τί; διότι πολλοί, ὁποῦ λέγονται εὐσεβεῖς καὶ καυχῶνται εἰς τὴν δύναμιν ταύτης, θαύματα δὲν πιστεύουσιν· ὢ τῆς ἀσεβείας; καὶ ὅταν δὲν πιστεύωνται τὰ θαύματα, μήτε τὰ Μυστήρια εἶναι ἄξια Πίστεως, ἐπειδὴ ὑπὲρ φύσιν εἶναι καὶ ἐκεῖνα καὶ τοῦτα· Ἀκούσατε λοιπὸν κατὰ τὸ παρὸν τὴν διήγησιν τῆς περιγραφῆς καὶ τότε χάριτι τῆς Πανάγνου Μητρὸς θέλομεν φανερώσει καὶ περὶ τῶν θαυμάτων ἐξηκριβωμένως. Δέσποινα Θεοτόκε, προηγοῦ ἡμῖν καὶ γενοῦ βοηθός, δος λόγου δύναμιν ἡμῖν.

Δὲν εἶναι ἀμφιβαλλόμενον εἰς τοὺς Ὀρθοδόξους καὶ προσκυνητὰς τῶν Ἁγίων Εἰκόνων, πῶς εἶναι τοῦτο ἔργον Θεῖον, ἡ τιμητική, λέγω, τῶν Εἰκόνων προσκύνησις, παραδεδομένον ὑπὸ τῶν Θείων Ἀποστόλων καὶ αὐτοῦ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ἐπειδὴ πρῶτος αὐτὸς τὸ ἔχον τὸ ἑαυτοῦ ἐκτύπωμα Ἱερὸν Μανδήλιον πρὸς Αὔγαρον ἔπεμψε, καθὼς ἐν τῷ περὶ Εἰκόνων πρώτῳ Λόγῳ τοῦ Δαμασκηνοῦ ἐμφέρεται αὐτοῖς ῥήμασι· «λόγος ἄνωθεν εἰς »ἡμᾶς παραδεδομένος κάτεισιν, Αὔγαρον τὸν Ἐδέσσης Ἀνακτά »φημι, τῇ τοῦ Κυρίου πρὸς Θεῖον ἐκπυρσευθέντα ἔρωτα ἀκοῇ, ἀπε»σταλκέναι Πρέσβεις τὴν ἑαυτοῦ ἐξαιτοῦντας ἐπίσκεψιν, εἰ δὲ ἀρνηθείη »τοῦτο δράσσειν, τὸ τούτου κελεύει ὁμοίωμα Ζωγράφῳ ἐκμάξασθαι, »ὃ γνόντα τὸν πάντα εἰδότα καὶ πάντα δυνάμενον τὸ ράκος εἰληφέ»ναι καὶ τῷ Προσώπῳ προσενεγκάμενον ἐν τούτῳ τὸν οἰκεῖον ἐνα»πομόρξασθαι Χαρακτῆρα, ὃς καὶ μέχρι τοῦ νῦν σώζεται». Καὶ ὁ Ἱερὸς δὲ καὶ Θεῖος Ἀπόστολος Λουκᾶς ἱστόρησε πρῶτος Εἰκόνας Ἁγίας τοῦ Δεσπότου Χριστοῦ, καὶ τῆς Θεοτόκου, μὲ τὴν αὐτῆς προσταγὴν καὶ τῶν Κορυφαίων Ἀποστόλων, καθὼς δείκνυται τοῦτο ὄχι μόνον ἀπὸ τὸν βίον του, ἀλλὰ καὶ ἀπὸ τὸν Θεῖον Δαμασκηνόν, καὶ ἀπὸ ἄλλους μεταγενεστέρους. Συμπεραίνεται δὲ αὐτὸ καὶ ἀπὸ ἄλλα τινά, καὶ μάλιστα ἀπὸ τὸ ὑπόμνημα τοῦ μεταφραστοῦ Συμεῶνος, ὁποῦ κάμνει εἰς τὸν εὐαγγελιστὴν Λουκᾶν, ἔνθα καὶ λέγει περὶ αὐτοῦ· «ὁ δὲ τῶν ἄλλων ἐστὶ χαριέστατον, ὅτι καὶ αὐτὸν τὸν τοῦ προσλήμ»ματος τοῦ ἐμοῦ Χριστοῦ τύπον, τόν τε τῆς αὐτὸν Τεκούσης καὶ »δούσης τὸ πρόσλημμα, Χαρακτῆρα πρῶτος οὗτος κηρῷ καὶ χρώματι

ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ · ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

»βάψας ἐν Εἰκόνι τιμᾶσθαι μέχρι καὶ νῦν παραδέδωκεν»· ὅθεν ἀκό
λουθον εἶναι νὰ ἱστόρησεν εἰς τὴν ζωήν του ὁ Ἀπόστολος καὶ ἄλλας
Εἰκόνας Δεσποτικὰς καὶ Θεομητορικάς· ὁ λόγος ὅμως εἶναι περὶ
τῶν τριῶν ἐκείνων Εἰκόνων τῆς Θεομήτορος, ὁποῦ φαίνεται ἐγγρά-
φως, ὡς εἴπομεν, εἰς τὸν βίον του, νὰ ἔδειξε ταύτας πρὸς τὴν Παρ-
θένον ἔτι ζῶσαν, ἀφ' οὗ τοὺς ἱστόρησεν, εἰς τὰς ὁποίας εὐαρεστη-
θεῖσα καὶ ἡ Παρθένος εἶπε τὸ περιᾳδόμενον ἐκεῖνο· «ἡ χάρις τοῦ
»ἐξ ἐμοῦ Τεχθέντος δι' ἐμοῦ μετ' αὐτῶν» διὰ τὸ ὁποῖον καὶ ἐπλού-
τησαν, ὡς εἰκός, ξεχωριστὴν χάριν αἱ τρεῖς αὗται κατ' ἐξοχήν· ἐξ
ὧν ἡ μὲν μία, ἡ καὶ πρῶτος ἱστορηθεῖσα, ὥς φασιν, ἡ μηδὲ τὸν
Μονογενῆ αὐτῆς υἱὸν ἔχουσα, Ἐλεοῦσα ἐπιγράφεται, ὡς δεομένη
τοῦ Υἱοῦ αὐτῆς ἵνα ἐλεήσῃ ἡμᾶς· ἡ δὲ ἑτέρα, ἡ καὶ ἔχουσα τὸ Μο-
νογενῆ ἐξ ἀριστερῶν, λέγεται Ὁδηγήτρια, ὡς ὁδηγοῦσα ἡμᾶς ἢ τὸν
Ὁδηγοῦντα ἡμᾶς εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν φέρουσα. Ἡ τρίτη
δὲ, ἡ ἔχουσα τὸν Μονογενῆ ἐκ δεξιῶν, Ἐλεοῦσα καὶ αὐτὴ γράφεται,
ἢ ὡς ἐλεοῦσα ἡμᾶς ἢ ὡς τὸν ἡμᾶς ἐλεήσαντα γεννήσασα καὶ ἐν ἀγ-
κάλαις φέρουσα· Αὕτη λέγεται καὶ Ἐλεοῦσα τοῦ Κύκκου, διὰ τὸ
οὕτως ὀνομαζόμενον Ὄρος τοῦ Κύκκου, τοῦ μετονομασθέντος Κύκ-
κου, ὅπερ ὕστερον, ὡς δοκεῖ, προσετέθη, πρὸς διαφορὰν τῆς ἄλλης
Ἐλεούσης, διὰ τὸ ὁποῖον ἴσως αἴτιον καὶ Κυκκιώτισσαν ταύτην
ἐπέγραψαν εἰς τὸ Ἀργυροῦν Κόσμημα, γενόμενον κατὰ τοὺς χιλίους
πεντακοσίους ἑβδομήκοντα ἓξ χρόνους ἀπὸ Χριστοῦ· καὶ μὴ θαύμαζε
εἰς τὴν ἐπιγραφήν, διατὶ καθὼς ἡ διὰ θαλάσσης ἐλθοῦσα Θαυμα-
τουργὸς Εἰκὼν τῆς Θεομήτορος ἡ ἐν τῇ Βασιλικῇ Μονῇ τῶν Ἰβήρων
Πορταΐτισσα ἐπιγράφεται, ἐπειδὴ ἐγγὺς τῆς πόρτας ἐστὶ, καθὼς καὶ
ἠθέλησεν, οὕτω καὶ αὐτὴ Κυκκιώτισσα ἐπεγράφη, ἐπειδὴ ἐξελέξατο
εἰς κατοικητήριον τὴν κατὰ τὸ Ὄρος τοῦ Κύκκου Ἱερὰν Μονὴν ἐν
τῇ Νήσῳ Κύπρῳ· οὕτω γὰρ καὶ ἡ Ὁδηγήτρια ἡ ἐν τῷ μεγάλῳ
Σπηλαίῳ οὖσα Σπηλαιώτισσα λέγεται. Καὶ ταῦτα μὲν τὰ περὶ τῶν
τριῶν σεπτῶν Εἰκόνων τῆς Θεομήτορος λεγόμενα καὶ γραφόμενα.
Ὁ δὲ τῆς Περιγραφῆς Συγγραφεὺς γράφει τὸν Ἀρχάγγελον Γα-
βριὴλ ἐπιδοῦναι τῷ Ἀποστόλῳ Λουκᾷ τὰς σανίδας τῶν τριῶν τού-
των Εἰκόνων· τὴν μίαν πρῶτον, τῆς δίχα τοῦ Μονογενοῦς Εἰκόνος,
καὶ τὰς λοιπὰς δύο ὕστερον, καθὼς τοῦτο φαίνεται καὶ ἐν τῇ Ζω-



γραφίᾳ. Μία δὲ ὁλόκληρος εἶναι τῆς Εἰκόνος ἡ σανὶς καὶ ἄσηπτος ὡς καὶ ὁρᾶται. Πρῶιον δέ φησι τὰς τρεῖς ταύτας Εἰκόνας πεμφθῆναι εἰς Αἴγυπτον παρὰ τοῦ Θείου Λουκᾶ, ἴσως διὰ τοὺς ἐκεῖ ὄντας Ναζαραίους καὶ βίον Ἀγγελικὸν πρῶτος διὰ τοῦ Εὐαγγελιστοῦ Μάρκου μετερχομένους θαυμασίως Πιστοὺς, κατὰ τὸν Φίλωνα Ἰουδαῖον καὶ τὸν Παμφίλου Εὐσέβιον· ἐξ Αἰγύπτου δὲ πάλιν, ἡ μὲν τῆς Ὁδηγητρίας Ἁγία Εἰκὼν ὑπὸ τῶν εὐσεβῶν Βασιλέων ἐφέρθη εἰς Κωνσταντινούπολιν, κατατεθεῖσα εἴς τι εὐαγὲς Μοναστήριον, τῆς Ὁδηγητρίας ἐπονομαζόμενον, καὶ ἄπειρα ἐποίει Θαύματα. Κατὰ δὲ τοὺς χρόνους τοῦ Εἰκονομάχου Λέοντος τοῦ Ἰσαύρου, λέγουσιν ὅτι ἐτέθη ἔν τινι κιβωτίῳ ἀσφαλισθέντι καλῶς καὶ ἐρρίφθη εἰς θάλασσαν καὶ μετ' οὐ πολὺ ἐξέβη εἰς τὴν Ἀντιόχειαν, λαμπρῶς ὑποδεχθεῖσα ὑπὸ τοῦ τότε Πατριάρχου καὶ παντὸς τοῦ Λαοῦ· κἀκεῖθεν πάλιν ἐκομίσθη εἰς τὸ Βυζάντιον (ὡς τῆς φήμης διαδοθείσης) διὰ προσταγῆς τῶν μετὰ ταῦτα Βασιλευσάντων, Ὀρθοδόξων Βασιλέων. Ἡ δὲ Ἐλεοῦσα λεγομένη, ἡ δίχα τοῦ Μονογενοῦς, οὐκ οἶδα ὅπως ἐφέρθη, ὡς λέγει, πρῶτον εἰς Ἀττάλειαν, εἶτα ὑπὸ τῶν Περσῶν κυριευθείσης τῆς Ἀτταλείας ἐφέρθη εἰς τὴν Νῆσον Κύπρον διὰ τὸ εἶναι πλησίον. Κἀκείνης δὲ ὑπὸ τῶν Σαρακηνῶν κατακυριευθείσης ἐκομίσθη εἰς τὰς Ἀθήνας, κατὰ τὸν Συγγραφέα, διὰ τὸ ἀκμάζειν ἐκεῖ τότε τὴν Σοφίαν, πρὸς τὸ ἔχειν αὐτὴν τοὺς σοφοὺς Ἀθηναίους, ὡς λέγει, βοήθειαν. τὴν δὲ ἑτέραν, ἥτις καὶ ἐπεγράφη ὕστερον Κυκκιώτισσα, τὴν οὖσαν ἔτι ἐν Αἰγύπτῳ διὰ τὰς ἐκεῖσε καταδρομάς, ἠθέλησάν τινες τῶν Εὐσεβῶν κομίσαι εἴς τινα Νῆσον πρὸς φύλαξιν, ὅθεν καὶ λαβόντες αὐτὴν εὐλαβῶς ἔθεντο ἐν πλοίῳ καὶ ἔπλεον· θείᾳ δὲ παραχωρήσει Σαρακηνοὶ τυχόντες αὐτοὺς ᾐχμαλώτευσαν καὶ ἔλαβον καὶ τὴν Ἁγίαν Εἰκόνα μετὰ παντὸς τοῦ ἄλλου ὄλβου· ἀλλ' ὁ Θεὸς ὁ ἀκατανοήτοις καὶ ἀρρήτοις τρόποις τὰ πάντα πανσόφως οἰκονομῶν ὁ πατάσσων καὶ πάλιν ἰώμενος, εὐθὺς τότε κατέλαβε τὴν ὀφρὺν τῶν ὑπερηφάνων Σαρακηνῶν· πλοῖα γὰρ βασιλικὰ ἀνεφάνισαν τῶν Ῥωμαίων, ἃ καὶ συλλαβόντα αὐτοὺς αἰχμαλώτους ἤγαγον εἰς Κωνσταντινούπολιν καὶ τὴν Ἁγίαν Εἰκόνα ἔθεντο ἐν τῷ Παλατίῳ.

Καὶ ταῦτα μὲν κατὰ τὸν Συγγραφέα ἐν συντομίᾳ εἶπον· ἐμοὶ δὲ δοκεῖ, ὥσπερ πάντα τἄλλα κειμήλια τὰ Θεῖα καὶ Ἱερὰ Λείψανα

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

διὰ συνδρομῆς τῶν Εὐσεβῶν Βασιλέων ἐκομίσθησαν εἰς τὴν Βασι-
λεύουσαν, οὕτω καὶ αἱ Ἅγιαι Εἰκόνες διὰ τὴν ἐν αὐταῖς χάριν καὶ
τὰ δι' αὐτῶν ἐνεργούμενα ἄπειρα Θαύματα ἀπήχθησαν εἰς Κωνσταν-
τινούπολιν. Πῶς δὲ πάλιν ἡ μέν, ὡς λέγεται, εὑρέθη εἰς τὸ κατὰ
τὴν Πελοπόννησον Εὐαγὲς Μοναστήριον τοῦ Μεγάλου Σπηλαίου ἡ
Ὁδηγήτρια, ἡ δὲ Ἐλεοῦσα ἐν τῇ Ῥωσσίᾳ, ἡ δὲ Κυκκιώτισσα ἐν
τῇ Κύπρῳ, ἄλλοι ἄλλα λέγουσιν, ἅπερ γράφειν οὐκ ἀναγκαῖον.

Πλὴν ἐπεὶ ὁ λόγος ἡμῶν ἐστι περὶ τῆς ἐν τῷ Σεβασμίῳ Μονα-στηρίῳ τοῦ Κύκκου Χαριτοβρύτου Εἰκόνος, εἴπωμεν πάλιν κατὰ τὸν Συγγραφέα τῆς Περιγραφῆς ὀλίγα ἔκ τε τῆς κατὰ τὴν Ἱερὰν Ἐκ-κλησίαν παλαιᾶς Ζωγραφίας, δεικνυούσης τὰ περὶ τῆς ἀποκομίσεως τῆς Ἱερᾶς Εἰκόνας καὶ ὅσα διὰ τῆς ἀκοῆς παρελάβομεν. Εὑρίσκετο ὡς προείρηται, ἐν τῷ Βασιλικῷ Παλατίῳ ἡ ἐκ δεξιῶν ἔχουσα τὸν Μονογενῆ Σεβασμία Θεομητορικὴ Εἰκών, ἡ καὶ μέγα ἔχουσα τὸ αἰ-δέσιμον διὰ τὸν Ἱστοριογράφον Ἀπόστολον Λουκᾶν, διὰ τὸ ὁποῖον καὶ ἐτιμᾶτο ὑπερβαλλόντως ὑπὸ τῶν Εὐσεβῶν Βασιλέων, φυλαττομένη καλῶς ὑπὸ τῶν κατὰ καιροὺς Βασιλευόντων, ὡς μέγας τις θησαυρὸς καὶ καύχημα τῶν Ῥωμαίων, καθὼς καὶ ἔστι τῇ ἀληθείᾳ. Κατὰ δὲ τὸ ἑξακισχιλιοστὸν πεντακοσιοστὸν πεντηκοστὸν ἔτος καὶ ἐπέκεινα τῆς τοῦ Κόσμου Κτίσεως, κατὰ τοὺς χρόνους τῶν Κομνηνῶν Βασιλέων, περὶ αὐτό που σχεδὸν τὸ ἑξακισχιλιοστὸν ἑξακοσιοστον, ὅτε ὁ Κο-μνηνὸς Ἀλέξιος ἐβασίλευε καὶ ἦν ὑπὸ τὴν Ἐπικράτειαν τῶν Ῥω-μαίων πάλιν ἡ Κύπρος, ἐπέμποντο ἐν τῇ Νήσῳ παρὰ τοῦ Βασιλέως ἄρχοντες, ἀξίωμα ἔχοντες Δουκός. Ἀμφιβαλλόμενον δ' ἐτέθη τὸ ἔτος ἐπεὶ καὶ ὁ Βασιλεὺς ἀμφιβάλλεται· οἱ μὲν γὰρ τὸν Κομνηνὸν Ἰσαά-κιον λέγουσι, τὸ πέμπτον ἔτος τῆς Βασιλείας αὐτοῦ, ὅστις δύο ἔτη μόνον ἐβασίλευσεν· εἰ δὲ καὶ εἶχεν οὗτος καὶ τέκνα Ἰωάννην καὶ Μαρίαν, ἀλλὰ διὰ τὰ μεσολαβήσαντα περιστατικὰ καὶ πολυχρονιότητα ζητοῦντα, δὲν ἀκολουθεῖ νὰ ἦτον ὁ Ἰσαάκιος ὁ οὕτως ὀλίγον βασι-λεύσας, ὡς εἴρεται. Λοιπὸν ἀληθέστερον εἶναι πῶς ἦτον ὁ Κομνηνὸς Ἀλέξιος (ἀγκαλὰ καὶ νὰ μὴν εἶχε θυγατέρα μονογενῆ), ἐπειδὴ καὶ εἰς τὸν καιρὸν τούτου φαίνεται νὰ ἦτον Μανουὴλ ὁ Βουτομίτης, τὸν ὁποῖον λέγει ὁ Συγγραφεὺς νὰ ἐχρημάτισε Δούκας τῆς Κύπρου, πλὴν ἐν θ'. καὶ ια'. καὶ ιδ'. Βιβλίῳ Ἄννης Κομνηνῆς Καισαρίσσης τῆς



Ο' Δὺξ αἰτεῖ παρὰ τοῦ Βασιλέως τὴν Ἁγίαν Εἰκόνα.

Πορφυρογεννήτου οὐκ ἐμφέρεται ὡς Δοὺξ ὁ Βουτομίτης Μανουὴλ ἐν Κύπρῳ ὅμως ἐπορεύθη καὶ τὸν ἀποστάτην Ῥαψομάτην ἐνίκησε καὶ πάλιν ἦλθεν εἰς Κύπρον, ὅτε πρὸς Βουλδουῖνον τὸν Ῥῆγα Ἱεροσολύμων ἐπέμφθη παρὰ τοῦ Βασιλέως Ἀλεξίου, ὥστε ἢ Δοὺξ ἐχρημάτισε Κύπρου εἴτε καὶ μή, ἐν Κύπρῳ ὅμως καὶ ἦλθε καὶ διέτριψε, Στρατηγὸς ὢν ἄριστος καὶ ἀξίᾳ τετιμημένος μεγίστῃ καὶ συμπεραίνεται ἐκ τούτου ἀληθὲς εἶναι τότε Βασιλέα ὑπάρχειν τὸν Κομνηνὸν Ἀλέξιον, ὡς καὶ ἀπεδείχθη.

Οὗτος οὖν ὁ Βουτομίτης Μανουὴλ διατρίβων ποτὲ ἐν Κύπρῳ καὶ μὴ δυνάμενος νὰ μένῃ κατὰ τὸν καιρὸν τοῦ θέρους ἐν τῇ Λευκωσίᾳ διὰ τὴν ὑπερβολικὴν τοῦ Ἡλίου καῦσιν καὶ τὸ πνιγῶδες τοῦ ἀέρος, ἐπορεύθη μετὰ καὶ ἄλλων ἀρχόντων εἰς τόπους ψυχροὺς καὶ ἀερώδεις πρὸς φυλακὴν τῆς ὑγείας, καθὼς εἶχον συνήθειαν νὰ κάμουν τοῦτο οἱ προεστῶτες τῆς Κύπρου εἰς τὸν καιρὸν, ὁποῦ ἐγένοντο ὑπερβολικαὶ καύσεις. Ἦλθον λοιπὸν εἰς τὰ μέρος τῆς Μυριανθούσης, κἀκεῖ διατρίβοντες πολλάκις ἐπορεύοντο εἰς τὰ πλησίον ὄρη καὶ τοὺς δρυμῶνας, κυνηγοῦντες καὶ τοὺς ἵππους γυμνάζοντες.

Ἦσαν δὲ τότε εἰς τὰ Ὄρη τῆς Κύπρου καὶ εἰς τὸν Ἀκάμαν τὸν περιβόητον μάλιστα πλήθη Μοναχῶν ἀναχωρητῶν, καθὼς καὶ εἰς τὸ Ὄρος τοῦ Κύκκου, τοῦ μετονομασθέντος Κύκκου, ἐγγὺς ὄντος τῆς Μυριανθούσης. εὑρίσκετο Μοναχός τις ἐνάρετος, Ἡσαΐας ὀνόματι, γυμνὸς καὶ ἐν σπηλαίῳ τινὶ κρυπτόμενος. Τοῦτον ἐν μιᾷ τῶν ἡμερῶν διώκων ἀγρίμια, ζῷα οὕτω καλούμενα, ὁ Βουτομίτης Μανουὴλ εὗρε μόνος μόνον εἰς τὸ Ὄρος κεκοπιακῶς ὢν ἐκ τοῦ κυνηγίου καὶ περίλυπος διὰ τὸ μονωθῆναι τῆς ὁδοῦ πλανηθέντα. Ἠρώτησεν οὖν αὐτὸν λέγων· τίς εἶ σύ; καὶ ποῦ ἡ κατοικία σου; ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῷ, ἀλλ᾽ ἔφυγε, μὴ θέλων γνωσθῆναι· ὅθεν καταφρόνησιν ἑαυτοῦ νομίσας τοῦτο ὁ Δοὺξ, οὐ μόνον ὕβρισε τοῦτον, κακόγερον ἀποκαλῶν καὶ τοῖς ἄρχουσι μὴ πειθόμενον, ἀλλὰ καὶ ἔτυψεν αὐτὸν ἀνηλεῶς, ὑπὸ τοῦ θυμοῦ παροξυνθεὶς, καὶ ἐπὶ γῆς αὐτὸν ῥίψας τοῖς ποσὶ κατελάκτιζε. Ταῦτα πάσχων ὁ Ὅσιος ἐδόξαζε κλαίων τὸν Θεὸν, πραείᾳ ὅμως τῇ φωνῇ εἶπε πρὸς τὸν ἄρχοντα.

«Οὐκ ἀρκεῖ σοι, ὦ ἄνθρωπε, ἡ τοσαύτη εὐτυχία καὶ ἡ ἀπόλαυσις »τῶν ἡδέων τῆς Νήσου καὶ ἡ τῶν Πόλεων καὶ Κωμῶν κατοικία;

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΑΘΟΠΟΥΛΟΣ

»ἀλλὰ καὶ ἡμᾶς τοὺς ἐν ἐρήμοις ἐνοχλεῖς ἀναιτίως καὶ κακοποιεῖς »οὕτω, μηδὲν ἀδικηθείς; ἄπελθε ἀπ' ἐμοῦ καὶ πάντως ἀποδώσει σοι »πονηρὸν τὸ ἀνταπόδομα ὁ Κύριος, ὅτι αὐτοῦ δοῦλός εἰμι ἐγὼ ὁ »ἁμαρτωλός». Ὁ δὲ Δοὺξ, ὑπὸ τοῦ θυμοῦ νικώμενος, εἰς οὐδὲν ταῦτα ἐλογίσατο, οὔτε ἐλυπήθη τὸ σύνολον, ἀλλὰ τὸν ἵππον βιάζων εὗρε τοὺς συντρόφους αὐτοῦ καὶ ἦλθον εἰς τὴν κώμην, ὅπου διέτριβον ἀναπαυόμενοι. Δὲν ἐπέρασε μεταξὺ πολὺς καιρὸς καὶ ἐρχόμενος εἰς τὴν Λευκωσίαν ὁ Δοὺξ μετὰ τῶν λοιπῶν ἀσθένησεν ἀσθένειαν βαρυτάτην καὶ σχεδὸν ἀνίατον, τὴν λεγομένην Ληθαργίαν, ἐκ τῆς ὁποίας τὸν θάνατον ἐννοῶν ἔκλαιεν ἀπαρηγόρητα καὶ ἐπεκαλεῖτο τὸν Κύριον εἰς βοήθειαν· οὕτω γὰρ πάντες οἱ ἄνθρωποι πάσχοντες καὶ οἱ πλούσιοι μάλιστα, περιπίπτοντες εἰς συμφορὰς καὶ ἀσθενείας, ἐνθυμοῦνται τοῦ Θεοῦ καὶ μετανοοῦσι, κατὰ τὸ, «ἐν θλίψει ἐμνήσθημέν σου». Τότε δὴ τότε ἐνεθυμήθη καὶ ὅσα ἐποίησε τῷ Μοναχῷ Ἡσαΐᾳ ὁ Δοὺξ καὶ οἵαν ἀπανθρωπίαν ἀναιτίως ἔδειξε πρὸς αὐτὸν καὶ ἐγνώρισεν ἀληθῶς, ὅτι διὰ τὴν ἁμαρτίαν αὐτὴν παιδεύεται· ὅθεν καὶ προσηύξατο τῷ Θεῷ μετὰ δακρύων παρακαλῶντας νὰ τοῦ χαρίσῃ τὴν ὑγείαν, διὰ νὰ ὑπάγῃ ὁ ἴδιος ζητῶντας νὰ λάβῃ τὴν συγχώρησιν, ὑποσχόμενος μετὰ χαρᾶς νὰ κάμῃ τὴν ἱκανοποίησιν, ὁποῦ ἤθελε διορίσῃ πρὸς αὐτὸν ὁ Ὅσιος. Ταῦτα δὲ τοῦ Δουκὸς ἐκ βάθους καρδίας εὐχομένου, ἐπήκουσεν ὁ Θεὸς, τῷ δὲ Ὁσίῳ ἀπεκαλύφθη ἅπαντα καὶ ὅτι τὰ γινόμενα Θεία ἦν Οἰκονομία, ὅπως ἡ ἐν τῷ Βασιλικῷ Παλατείῳ εὑρισκομένη Θεομητορικὴ Εἰκὼν, ἡ παρὰ τοῦ Ἱερογράφου ἱστορηθεῖσα Λουκᾶ, ἔλθῃ διὰ τοῦ Δουκὸς ἐν Κύπρῳ, ἐπεὶ τοῦτό ἐστι θέλημα Θεοῦ καὶ οὕτως ἀρέσκεται ἡ Ὑπέραγνος Δέσποινα· διὸ καὶ ἐκελεύσθη τῷ Ὁσίῳ ἐκ τῆς θείας ἀποκαλύψεως, ἵνα κανονικῶς προστάξῃ ἐρχομένῳ τῷ Ἄρχοντι ὑπηρετῆσαι τῇ Θείᾳ ταύτῃ Οἰκονομίᾳ, τοῦ ἐλθεῖν δηλαδὴ τὴν Θεομητορικὴν καὶ Χαριτόβρυτον Εἰκόνα ἐν Κύπρῳ δι' αὐτοῦ, ὅτι ἄλλως οὐ συγχωρηθήσεται καὶ εἰς τοῦτο μηδὲν δειλιάσω, ὡς δῆθεν αδύνατον· τὰ γὰρ παρὰ τοῖς ἀνθρώποις ἀδύνατα παρὰ τῷ Θεῷ δυνατά. Ταῦτα, ὡς ἐπροστάχθη ὁ Ὅσιος, εἶπε τῷ Ἄρχοντι τῷ ζητοῦντι μετὰ δακρύων συγχώρησιν.

Ὡς δὲ ὁ Δοὺξ τοῦτο ἤκουσεν, ὅλως ἐξεθαμβήθη καὶ μετὰ κλαυθμοῦ ἔκραξε· «συγχώρησόν μοι, Πάτερ, ὅτι ὑπὲρ δύναμιν τὸ ἐγχεί-



»ρημα· τίς γάρ εἰμι ἐγὼ, ὁ πάντων τῶν Βασιλικῶν Ἀρχόντων ἔσχα»τος, ὅστις τολμήσω τοιοῦτόν τι εἰπεῖν τῷ Βασιλεῖ; ἀδύνατον τοῦτο, »Πάτερ, καὶ ἄλλη ἔστω μοι ἡ ἱκανοποίησις». Ἀλλ' ὁ Ὅσιος, εἰ θέλεις, εἶπε, συγχωρηθῆναι, τοῦτο ποίησον καὶ ἕξῃς πάντως βοηθὸν τὴν Θεοτόκον εἰς τὸ ἐγχείρημα· ἐπεὶ οὕτω μοι ἀπεκάλυψεν. Εἰς ταῦτα τὰ λόγια καὶ ἄλλα πλείονα, ὁποῦ παρὰ τοῦ Ὁσίου ἤκουσε, θαρρήσας ὁ Ἄρχων ἐσυγκατένευσε νὰ ὑπηρετήσῃ εἰς τοῦτο ὅσον τὸ δυνατὸν, πλὴν ἐζήτησεν ἀπὸ τὸν Ὅσιον νὰ ὑπάγῃ μετ' αὐτοῦ εἰς τὴν Βασιλεύουσαν, εἰς τὸ ὁποῖον ἔστερξε καὶ ὁ Ὅσιος, μόνον νὰ ἀπολαύσῃ τὸ ποθούμενον. Οὕτω γὰρ συνταξάμενοι τότε ἀμφότεροι ἀνεχώρησαν.

Ἐλθόντος δὲ τοῦ ὡρισμένου καιροῦ, ὅτε ἔμελλεν ὁ Δοὺξ εἰς Κωνσταντινούπολιν ἀπελθεῖν, ἐμήνυσε τοῦτο τῷ Γέροντι κατὰ τὴν συμφωνίαν· ὁ δὲ ἐλθὼν μετὰ χαρᾶς καὶ εὐξάμενος εἰσέβησαν εἰς τὸ πλοῖον καὶ πλεύσαντες καλῶς ἔφθασαν Θεοῦ εὐδοκοῦντος εἰς τὸ Βυζάντιον. Τότε δὲ ὁ μὲν Ὅσιος μὴ στέργωντας νὰ εὑρίσκεται εἰς ὀσπίτια ἀρχοντικὰ, ἐπορεύθη εἰς τόπον ὀλίγον ἥσυχον καὶ γνώριμον εἰς τὸν Ἄρχοντα· ὁ δὲ Μανουὴλ ἐπορεύθη εἰς τὰ Βασίλεια εἰς προσκύνησιν τοῦ Βασιλέως, διὰ νὰ φανερώσῃ εἰς αὐτὸν ὅσα ἦτον ἀναγκαῖα καὶ νὰ δώσῃ λόγον κατὰ τὸ σύνηθες τῆς καλῆς αὐτοῦ διοικήσεως καὶ ὄχι μόνον ἅπαξ ἐπορεύθη εἰς τὸν Βασιλέα, ἀλλὰ καὶ δὶς καὶ πολλάκις, πλὴν οὐκ ἐτόλμα περὶ τῆς ὑποθέσεως ἐκείνης λαλῆσαι λόγον· ἐζήτει ὅμως τὸν ἁρμόδιον καιρὸν, διότι ἐγνώριζε, καθὼς ἔλεγεν εἰς τὸν Ὅσιον, τὸ πρᾶγμα δυσκολοκατόρθωτον καὶ εἰς τὸν Βασιλέα πολὺ βαρετὸν φαινόμενον· ὅθεν ἐσιώπα τὸν καιρὸν ἐξαγοραζόμενος. Ἀλλὰ τί τὸ ἐντεῦθεν; ὁ Βασιλεὺς ἀπὸ διαφόρους φροντίδας περιστοιχούμενος, ἀναγκαζόμενος μάλιστα καὶ ἀπὸ ἐχθροὺς, ὁποῦ ἤγειραν ὡς ἐναντίοι πολέμους, καθὼς τοῦτο συμβαίνει πολλάκις εἰς τοὺς Βασιλεῖς, ἐνίκησε κατ' αὐτῶν, θέλωντας νὰ τοὺς τιμωρήσῃ διὰ νὰ ταπεινωθοῦν. Ὁ δὲ Ὅσιος μὴ ὑπομένωντας νὰ ὑστερῆται τόσον καιρὸν τὴν ποθουμένην ἡσυχίαν του, ἐζήτησεν ἀπὸ τὸν Ἄρχοντα ἐκεῖνον ἄδειαν νὰ ἔλθῃ εἰς Κύπρον, παραγγείλας αὐτῷ νὰ φυλάττῃ τὴν ὑπόσχεσιν, ὁποῦ ἔκαμε, καὶ εὑρίσκωντας τὸν καιρὸν ἁρμόδιον νὰ ἀναφέρῃ τοῦτο τῷ Βασιλεῖ, ἐπειδὴ τοῦτο εἶναι τῆς Θεοτόκου τὸ θέλημα. Ταῦτα ἀκούων ὁ Δοὺξ ἐλυπεῖτο μὴ θέλωντας νὰ πέμψῃ ἄπρα-

κτον τὸν Ὅσιον καὶ ἀπὸ τὸ ἄλλο μέρος μὴ δυνάμενος νὰ κατορθώση τὸ θέλημά του· ὅθεν, ἐπειδὴ νὰ κρατήση ἐκεῖ τὸν Ὅσιον δὲν ἦτο δυνατόν, ἐπρόσταξεν ἕναν ζωγράφον ἐπιτήδειον καὶ ἱστόρησε δύο Ἁγίας Εἰκόνας, εἰς τὴν μίαν τὸν Δεσπότην Χριστὸν ἐπὶ θρόνου καθήμενον καὶ εἰς τὴν ἄλλην τὴν Ἁγίαν Τριάδα, κατὰ τὸν τύπον τῆς φιλοξενίας τοῦ Ἀβραάμ, καὶ κάτωθεν τὴν Θεοτόκον καὶ πρὸς τοὺς πόδας αὐτῆς ἐκ δεξιῶν τὸν μοναχὸν Ἡσαΐαν καὶ ἐξ ἀριστερῶν τὸν Βουτομήτην Μανουήλ, καθὼς ὁ Συγγραφεὺς λέγει, καὶ αὐτὰς μὲν ὁ Δοὺξ δίδωντας εἰς τὸν Ὅσιον καὶ χρήματα ἱκανὰ πρὸς οἰκοδομὴν Ναοῦ τοῦ ἔδωκεν ἄδειαν κλαίωντας καὶ παρακαλῶντάς τον νὰ εὔχεται διὰ λόγου του, χωρὶς νὰ ἀμφιβάλλη διὰ τὴν ὑπόσχεσιν. Ὁ δὲ Γέρων ἐμβὰς εἰς πλοῖον ἔφθασεν εἰς τὴν Νῆσον Κύπρον Θεοῦ βοηθείᾳ καὶ πορευθεὶς εἰς τὴν ἑαυτοῦ κατοικίαν ἐχαίρετο μὲν διὰ τὴν ποθουμένην ἡσυχίαν του, ἐλυπεῖτο δὲ διατὶ ἐστράφη ἄπρακτος.

Οὕτως οὖν εὑρισκόμενος βλέπει πάλιν κατ' ὄναρ ὅπερ καὶ πρότερον καὶ φωνὴν ἤκουσε λέγουσαν· μὴ λυποῦ, Γέρον· ὀλίγου γὰρ παρελθόντος χρόνου ἐλεύσεται πρὸς σὲ ἡ Χαριτόβρυτος τῆς Θεοτόκου καὶ Θαυματουργὸς Εἰκὼν, οἷς ὁ Κύριος γινώσκει τρόποις καὶ ὡς ἀρέσκεται ἡ Ὑπέραγνος Δέσποινα. Ταῦτα χρηματισθεὶς δι' ὀνείρου ὑπὸ Ἀγγελικῆς ὀπτασίας ὁ Ὅσιος, ἤρξατο κτίζειν Ναὸν εἰς ὄνομα τῆς Ὑπερουσίου Τριάδος, ὡς ἐκελεύσθη, ὃν καὶ ἀπαρτίσας ἔθετο ἐν αὐτῷ τὰς δοθείσας παρὰ τοῦ Δουκὸς Ἁγίας Εἰκόνας καὶ τοὺς ἐρχομένους πρὸς αὐτὸν ἐν τῷ ὄρει δεχόμενος κατέστησεν ἐκεῖ Μοναστήριον καὶ οὐκ ἔπαυσεν ἀδιαλείπτως εὐχόμενος, ὅπως τελειωθῶσι τὰ τῆς ὁράσεως. Καὶ οὕτω μὲν ὁ Ὅσιος· ὁ δὲ Θεὸς, ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν μὴ θέλων, μετὰ τῶν ἄλλων ἀγαθῶν, ὧν ἐστέρηται τὸ τῶν Ἑλλήνων Γένος μὲ τὴν τῆς Κωνσταντινουπόλεως ἅλωσιν, ὑστερηθῆναι καὶ τὴν τῆς Θεομητορικῆς ταύτης καὶ Χαριτοβρύτου Εἰκόνος ἀκούσατε τί ᾠκονόμησεν.

Ἦσαν θυγατέρες τῷ Βασιλεῖ Ἀλεξίῳ, κατὰ τοὺς Ἱστορικοὺς, εἰ καὶ ὁ Συγγραφεὺς Θυγάτηρ, φησὶν, ἦν μονογενὴς τῷ Βασιλεῖ, ἴσως δὲ καὶ τότε μία ἦν θυγάτηρ τῷ Βασιλεῖ ἡ προτογενὴς, ὡς μήπω γεννηθεισῶν τῶν ἄλλων· αὕτη γοῦν ἡ τοῦ Βασιλέως θυγάτηρ ἡ καὶ πολλὰ ἀγαπωμένη τῷ Βασιλεῖ, ἀσθενήσασα δεινὴν καὶ ἀνίατον νόσον




Οἱ Προσερχόμενοι τῷ Ἁγιάσματι τῆς Θεοτόκου, κ(αὶ) διαφόρων ἀσθενειῶν ἀπαλλαττόμενοι.
1. Λίθος ἐκ τοῦ ὁποίου Βρύει τὸ Ἁγίασμα

τὴν λεγομένην Ληθαργίαν, ὁμοίαν ὡς προείρηται τοῦ ὄντος ἐν τῇ Νήσῳ Κύπρῳ Δουκός, ἠλέγχοντο πᾶσαι αἱ τῶν ἰατρῶν μέθοδοι, ἀδυνατοῦσαι εἰς θεραπείαν τοῦ πάθους· τοσούτων γὰρ συνδραμόντων ἰατρῶν οὐδεὶς ἐδυνήθη θεραπεῦσαι τὴν τοῦ Βασιλέως θυγατέρα, ἀλλὰ πάντες σχεδὸν θανεῖν αὐτὴν ἐψηφίσαντο. Ἤλγει ἐπὶ τούτοις ὁ Βασιλεὺς καὶ ἐκ τῆς λύπης πολλάκις ποταμηδὸν ἔχυνε τὰ δάκρυα, οἷα Πατὴρ τῆς Κόρης φιλόστοργος. Ἔτυχε δὲ τότε κατὰ θείαν οἰκονομίαν ἐν τῷ Παλατείῳ καὶ ὁ Βουτομήτης Μανουὴλ καὶ βλέπων τὸν Βασιλέα περίλυπον ἐσκυθρώπαζεν, ὡς εἰκός, καὶ αὐτός· ὁ δὲ Βασιλεὺς τοῦτον ἰδὼν εἶπεν·

«Οὐδεὶς δύναται ἐλεῆσαί με, λέγων μοι τὴν ἰατρείαν τῆς Θυ»γατρός μου; Τότε ἀπεκρίθη καὶ ὁ Δοὺξ τῷ Βασιλεῖ, μόνῳ τε ὄντι »καὶ τοῦ καιροῦ ὡς ὄντως ἁρμοδίου· ἐγώ, εἶπεν, ὦ Δέσποτα Βασιλεῦ, »ἐν Κύπρῳ τὴν αὐτὴν ἐδοκίμασα ἀσθένειαν καὶ εἰ μὴ ἐβοήθησέ μοι »ὁ Κύριος, δι' εὐχῶν τινος Μοναχοῦ Ἡσαΐου, πάλαι ἂν ἐτεθνήκειν »ὅθεν καὶ ἐξαγγέλλω σοι νῦν τὴν ἰατρείαν τὴν θυγατρός σου καὶ Κυ»ρίας ἡμῶν καί, ἐὰν ποιήσῃς ὡς λέγω σοι, ταχέως ἰαθήσεται„. Ταῦτα τοῦ Βουτομήτη λέγοντος, ὑπόσχεται ποιήσειν πάντα ὁ Βασιλεὺς καὶ προέτρεπεν αὐτὸν λαλῆσαι ὅπως ταχέως γένηται ἡ θεραπεία τῆς θυγατρός του· ὅθεν ὁ Μανουὴλ τὴν ἐντολὴν τοῦ Γέροντος ἐνθυμούμενος, βλέπων μάλιστα καὶ τὴν γενομένην θείαν οἰκονομίαν, ἔλεγε θαρρούντως τῷ Βασιλεῖ· "γνωστὸν ἔστω σοι, ὦ Βασιλεῦ, ὅτι ἐντολὴν »ἔλαβον παρὰ τοῦ Γέροντος ἐκείνου καὶ Ἁγίου Ἀνδρός, ἀναγγεῖλαί »σοι, ὅτι τοῦτο ἐστι τὸ θέλημα τοῦ Θεοῦ καὶ τῆς Θεοτόκου Παρθέ»νου, ἀποστεῖλαι τὴν οὖσαν ἐν τῷ Παλατίῳ Θεομητορικὴν Ἁγίαν »Εἰκόνα ἐν τῇ Νήσῳ Κύπρῳ πρὸς τὴν κατοικίαν αὐτοῦ, κατὰ τὴν »ἀποκαλυφθεῖσαν αὐτῷ Θείαν Ὀπτασίαν· ὅπερ ἐὰν μὴ ποιήσῃς, οὐκ »εἰς καλόν σοι ἀποβήσεται οὐδὲ ἡ θυγάτηρ σου ἰαθήσεται· κἀκεῖνος »δὲ ἦλθε μετ' ἐμοῦ, θέλων δηλῶσαί σοι τὴν θείαν Προσταγὴν δι' »ἐμοῦ· ἐγὼ δὲ μὴ τολμῶν τοιοῦτόν τι εἰπεῖν τῇ Βασιλείᾳ σου, ὡς »μηδὲ τοῦ καιροῦ τοῦτο καλέσαντος, ἀνεχώρησε πάλιν ἐντειλάμενός »μοι μετὰ ἐπιτιμίου τοῦ ἀναγγεῖλαί σοι πάντα καὶ ὡς βούλει ποίησον».

Ταῦτα ἀκούσας ὁ Βασιλεὺς ἔμεινε περίλυπος, πλὴν ὑπέσχετο ἐὰν ἰαθῇ ἡ θυγάτηρ αὐτοῦ, τοῦτο ποιήσειν, μάλιστα δὲ καὶ μετὰ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δακρύων ἔκραξεν· «εἰ τοῦτό ἐστι σὸν θέλημα, Θεοτόκε Παρθένε, τίς »εἰμι ἐγὼ ὁ εὐτελὴς τοῦ ἐναντιωθῆναι τῇ σῇ βουλῇ, Κυρία μου Δέ»σποινα; πλὴν τοῦτο δέομαι ἐξ ὅλης μου τῆς ψυχῆς, ἵνα λυτρώσῃς »τὴν Κόρην μου ἐκ τῆς ἀνιάτου καὶ δεινῆς ἀσθενείας καὶ πάντως »ἀποστείλω ἑτοίμως τὴν ἐν τῷ παλατείῳ μου Σεπτὴν Εἰκόνα σου ἐν »τῇ Νήσῳ Κύπρῳ„. Ταῦτα ὁ Βασιλεὺς συνταξάμενος, εὐθὺς ἡ νόσος ἐφυγαδεύετο καὶ ἡ ἀσθενοῦσα ἀνερρωνύετο καὶ ἐντὸς ὀλίγου ἐθεραπεύθη τελείως ἡ πρώην νεκρὰ καὶ ἀναίσθητος. Θαυμαστὸς ὄντως ὁ Θεὸς, ὡς ἐνδόξως ποιῶν τέρατα, κατὰ τὸ εἰρημένον. Ἀλλ' ὁ μὲν Βασιλεὺς, τῆς Θυγατρὸς αὐτοῦ θεραπευθείσης, ἐπελάθετο ὅπερ καὶ συνετάξατο, μὴ θέλων μάλιστα τοιούτου Θησαυροῦ στερηθῆναι, τῆς Θεομητορικῆς, λέγω, ταύτης Εἰκόνος· ὁ δὲ Θεὸς, ὃς οὐδὲ μυκτηρίζεται, κατὰ τὸν εἰπόντα, τί ἐποίησεν; ἀσθενεῖ ὁ Βασιλεὺς ὡς παραβάτης τῆς ὑποσχέσεως, ἣν καὶ ἐνθυμηθεὶς διὰ τὴν ἀσθένειαν, ἐκάλεσεν εὐθὺς ἄριστον Ζωγράφον καὶ ἐνετείλατο αὐτῷ ἱστορῆσαι Εἰκόνος, βουλόμενος ταύτην ἀποστεῖλαι ἐν Κύπρῳ. Ἀλλ' ἡ Θεοτόκος, οὐδ' αὐτὴ ἀρεσκομένη ἐν τούτῳ, ἐφάνη κατ' ὄναρ τῷ Βασιλεῖ μετ' ἀπειλῆς λέγουσα· "Βασιλεῦ, τὴν σὴν Εἰκόνα ἔασον ὧδε, τὴν δ' ἐμὴν ἀπό»στειλον ταχέως ἐν τῇ Νήσῳ πρὸς τὸν Μοναχὸν Ἡσαΐαν· οὕτω γὰρ »ἐγὼ ἀρέσκομαι„. Εἰς ταῦτα ἔντρομος γενόμενος ὁ Βασιλεὺς ἐξηγέρθη τοῦ ὕπνου ἔμφοβος καὶ εὐθὺς ἐπρόσταξε τοῖς περὶ αὐτὸν εὐτρεπίσαι τὸ βασιλικὸν πλοῖον, εἰς τὸ ὁποῖον μετὰ πάσης τιμῆς τὴν Ἁγίαν Εἰκόνα, ἑκόντι ἀέκοντι θυμῷ, καὶ εὐλαβῆ τινα Ἱερομόναχον διὰ Καθηγούμενον, ὡς λέγουσι, χρήματά τε ἱκανὰ πρὸς οἰκοδομὴν Ναοῦ ἀπέστειλε πάντα πρὸς τὸν τότε Δοῦκα τῆς Κύπρου, προστάζων αὐτῷ διὰ γράμματος ἐγχειρίσαι ταῦτα τῷ Μοναχῷ Ἡσαΐᾳ, τῷ ἀσκουμένῳ κατὰ τὸ Ὄρος τοῦ Κύκκου, συνεργῶν αὐτῷ ἐν πᾶσι καὶ ὑπακούων τοῖς παρ' αὐτοῦ λεγομένοις· ἅπερ πάντα γεγόνασι κατὰ τὸ Βασιλικὸν ἐπίταγμα. Ἐλθούσης δὲ τῆς Θεομητορικῆς καὶ Χαριτοβρύτου Εἰκόνος ἐν τῇ Νήσῳ Κύπρῳ, ἄπειρα εὐθὺς ἐγένοντο θαύματα, καὶ ἐπληρώθη τότε ἡ προφητεία τοῦ Ἡσαΐου, ἡ ἐν Κεφαλαίῳ κδ'. λέγουσα· "διὰ »τοῦτο ἡ δόξα Κυρίου ἐν ταῖς Νήσοις ἔσται τῆς θαλάσσης· τὸ ὄνομα »Κυρίου ἔνδοξον ἔσται». Ὁ δὲ Ἡσαΐας λαβὼν αὐτὴν εὐλαβῶς παρὰ τοῦ Δουκὸς καὶ τὰ ἄλλα πάντα ὡς ὁ Βασιλεὺς ἐκέλευσεν, ἤρξατο κό-




Τοῦ Πλοίου ἐλλιμενισθέντος ἐν Κύπρῳ προσδέχεται ὁ Ἡσαΐας μετὰ τοῦ Δουκὸς, τὴν Ἁγίαν Εἰκόνα, καὶ παρ' αὐτοῦ λαμβάνει τὰ Χρυσόβουλλα. καὶ ἐρχομένων αὐτῶν ἐν τῇ Μονῇ τὰ κατὰ τὴν ὁδὸν δένδρη, κλίνουσι τὰς κορυφὰς αὐτῶν.

πτειν τὸ Ὄρος καὶ κτίζειν ἐν αὐτῷ Ναὸν μέγαν, εἰς τὸ ὄνομα τῆς Θεοτόκου, ἐν ᾧ καὶ τὴν Σεπτὴν Εἰκόνα ἀπέθετο καὶ κελλία ἔτι πρὸς ἀνάπαυσιν τῶν Μοναχῶν, ἅπερ καὶ τελέσας καὶ Ἡγούμενον ἐν τῇ Μονῇ καταστήσας καὶ Τυπικὸν ἐν αὐτοῖς διαταξάμενος, πῶς δεῖ τοὺς ἐν τῇ Μονῇ διάγειαν Μοναχοὺς καὶ ἄλλα, ὅσα πρὸς ψυχικὴν σωτηρίαν ἀποβλέπουσιν, ἐφρόντισεν ὕστερον καὶ περὶ τῆς Ζωοτροφίας τῶν ἐν τῷ Μοναστηρίῳ γράψας τῷ Δουκὶ ὅσα ἦν ἀναγκαῖα. Ὁ δὲ Δοὺξ ἐδωρήσατο χάριν τῆς Ὑπεραγίας Θεοτόκου τῇ Μονῇ δύο κώμας, πλησίον αὐτῇ οὔσας, ὄνομα τῇ μιᾷ Μῆλον, τῇ δὲ ἑτέρᾳ Μηλικούριον· καὶ πάλιν ἑτέραν εἰς τὸ μέρος τῆς Λευκωσίας, Περιστερῶνα καλουμένην· ἅπερ πάντα καὶ διὰ Χρυσοβούλλου ἐπεβεβαίωσεν ὕστερον ὁ Βασιλεύς. Διὰ τοῦτο γοῦν δικαίως καλεῖται Βασιλικὴ Μονὴ τὸ Ἱερὸν Μοναστήριον, ἐπειδὴ διὰ βασιλικῶν χρημάτων ἐγένετο καὶ ὑπὸ βασιλικῶν δωρημάτων οἱ ἐν αὐτῷ ἐτρέφοντο, κἂν καὶ πάντα Λατῖνοι, κυριεύσαντες τὴν Κύπρον κατὰ τοὺς χιλίους ἑκατὸν ἐνενήνήκοντα χρόνους ἀπὸ Χριστοῦ, ἐκ τῆς Μονῆς ἀφείλοντο· καὶ τὸ κάλλος δὲ τῆς Μονῆς καὶ ὁ Ναὸς καὶ πάντα τὰ ἐν αὐτῷ σκεύη, Βιβλία, Ἱερὰ Ἄμφια, Διαθῆκαι Χρυσόβουλλα καὶ ὅσα ἄλλα, διεφθάρησαν ὑπὸ τοῦ γενομένου ἄφνω ἐμπρησμοῦ κατὰ τὸ ἑξακισχιλιοστὸν ὀκτακοσιοστὸν ἑβδομηκοστὸν τρίτον ἔτος ἀπὸ Κόσμου γενέσεως, χιλιοστῷ δὲ τριακοστῷ ἑξηκοστῷ πέμπτῳ ἀπὸ Χριστοῦ, ὅτε καὶ ὑπὸ τὴν ἐπικράτειαν τῶν Δυτικῶν ἔτι ἡ Κύπρος ἦν, ἀγκαλὰ καὶ διαφόρων· πρῶτος γὰρ ὁ Βασιλεὺς Ἀγγλίας Ῥιχάρδος κυριεύσας αὐτὴν ἐπώλησεν εἰς τοὺς Τεμπλάρους, οὗτοι δὲ πάλιν εἰς τὸν Γάλλον Γουΐδωνα, τοῦ ὁποίου ὁ ἀδελφὸς ἐλέγετο, κατὰ τὸν δοθέντα αὐτῷ τίτλον, Ῥὴξ ἢ Βασιλεύς, καὶ διὰ τοῦτο φαίνεται μέχρι τοῦ νῦν ἐν Κύπρῳ Παλάτια Ῥηγός, καὶ ἄλλα πάλιν διεφθαρμένα τῆς Ῥήγαινας καλούμενα, ἐπειδὴ τὰ Δουκὸς κτίσματα δὲν λέγονται ποτὲ Ῥηγός, ὡσὰν ὅπου ὁ Ῥὴξ εἶναι τοῦ Δουκὸς ἀνώτερος, καθὼς καὶ τοῦ Ῥηγὸς πάλιν ὁ Βασιλεύς. Ὕστερον δὲ πάλιν ἦλθεν εἰς τὴν ἐξουσίαν τῶν Γενουησίων ἡ Κύπρος, καὶ μετὰ ταῦτα εἰς χεῖρας τῶν Ἑνετῶν ἕως τοὺς χιλίους πεντακοσίους ἑβδομήκοντα χρόνους ἀπὸ Χριστοῦ, ὅτε ὑπέπεσεν εἰς τὰς χεῖρας τῶν Ὀθωμανῶν, κατὰ τὸν γεωγράφον Μελέτιον, κυριευόντων ταύτην καὶ μέχρι τοῦ νῦν· ὅθεν, καὶ δεκατεσσάρων ὄντων ἐν Κύπρῳ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

'Επισκόπων πρότερον, οἱ Λατῖνοι ὀκτὼ ἐποίησαν, τέσσαρας τῶν 'Ρωμαίων καὶ τέσσαρας τῶν Λατίνων· τὸν Λευκωσίας 'Αρχιεπίσκοπον Λατίνων, πλὴν οὐχὶ Κύπρου, ἀλλὰ Λευκωσίας μόνον ὀνομαζόμενον, τὸν δὲ Σωλέας 'Ρωμαίων, 'Αμμοχώστου Λατίνων, Καρπασέων δὲ 'Ρωμαίων, Νεμεσσοῦ Λατίνων, Κουρέων δὲ 'Ρωμαίων, Πάφου Λατίνων, 'Αρσενόης δὲ 'Ρωμαίων· καὶ ἐν ταῖς ἐπαρχίαις δὲ τῶν 'Ρωμαίων οἱ Λατῖνοι πάλιν εἶχον τὴν προεδρείαν, κατὰ τὸν συγγραφέα τῆς εὑρεθείσης Περιγραφῆς. 'Εγὼ δὲ ἐν ἄλλοις ἀνέγνων, ὅτι, ἐὰν μὴ ὡμολόγουν καὶ χείλεσι καὶ γράμμασι φρονεῖν ὅσα ὁ Πάπας, οἱ χειροτονεῖσθαι μέλλοντες 'Αρχιερεῖς, καθὰ τῷ βουλομένῳ ἔξεστιν ἰδεῖν ἐν θ'. Βιβλίῳ περὶ τῶν ἐν 'Ιεροσολύμοις Πατριαρχευσάντων τοῦ 'Ιεροῦ Δωσιθέου, οὐδαμῶς ἐλάμβανον ἄδειαν παρὰ τοῦ "Αρχοτος τῆς Νήσου τοῦ χειροτονεῖσθαι· ὅθεν καὶ 'Ιωσὴφ ὁ Βρυέννιος, ὁ διὰ τὴν Σοφίαν καὶ ἀρετὴν περιώνυμος, σφοδρῶς κατὰ τῶν Κυπρίων φέρεται, προδότας ἐν τούτῳ καλῶν τοῦ 'Ορθοδόξου φρονήματος τῆς 'Ανατολικῆς 'Αγίας 'Εκκλησίας· διὰ τὸ ὁποῖον καὶ Συνοδικῶς οἱ 'Ορθόδοξοι Πατριάρχαι καὶ οἱ λοιποὶ 'Αρχιερεῖς ἀπέκοψαν τότε τοὺς Κυπρίους τῆς 'Εκκλησίας, εἰ καὶ ὕστερον προσκλαιομένους καὶ μετανοοῦντας ἀπεδέξαντο, ἀπολογουμένους τοῦτο ποιεῖν ἀκουσίως οἰκονομίας χάριν· καὶ ἀληθεύειν τοῦτο δοκεῖ ἐκ τοῦ σῳζομένου μέχρι τοῦ νῦν ἐν τῇ 'Αρχιεπισκοπῇ Λατινικοῦ, καὶ 'Ελληνικοῦ ἴσου, τοῦ δοθέντος τοῖς προσκλαιομένοις Κυπρίοις γράμματος παρὰ τοῦ τότε Πάπα 'Αλεξάνδρου τοῦ Τετάρτου. Νῦν δὲ ὑπὸ τὴν ἐπικράτειαν οὔσης τῶν 'Εθνικῶν τῆς Κύπρου τέσσαρες ἐν αὐτῇ εἰσιν 'Αρχιερεῖς. 'Ο 'Αρχιεπίσκοπος Κύπρου καὶ Νέας 'Ιουστινιανῆς (ὁ καὶ Μακαριώτατος λεγόμενος διὰ τὸ Αὐτόνομον, ὃ ἔλαχεν ἡ Κυπρίων 'Εκκλησία ἐξ 'Αποστολικῆς παραδόσεως καὶ ἐπεβεβαίωσε τοῦτο διὰ Κανόνων ἡ 'Ιερὰ Οἰκουμενικὴ Τρίτη Σύνοδος, τὰ ἀρχαῖα ἔθη καὶ τοὺς τῶν Πατέρων "Ορους ἀκαινοτομήτους μένειν διακελεύσασα, διὰ τοὺς ἐνοχλοῦντας τότε τῆς 'Αντιοχείας προστάτας) καὶ οἱ τρεῖς Μητροπολῖται, ὁ Πάφου, ὁ Κιτιέων καὶ ὁ Κυρηνείας.

'Επαινετοὶ οὖν οἱ Κύπριοι, ὅτι μὴ ὄντες πλούσιοι ἀπὸ χρήματα πλουτοῦσιν ἀπὸ Θεῖα ἀληθῶς 'Αναθήματα καὶ Σεβάσματα, οἷόν ἐστι τὸ ἐν Λευκάροις τίμιον ξύλον, ὅπερ ἔθετο κτίσασα τὴν ἐν τῷ "Ορει



Μονὴν ἡ Βασιλὶς 'Ελένη, ἐξ 'Ιερουσαλὴμ ἐπανακάμπτουσα καὶ τότε ὑετὸς ἐγεγόνει, ἐπὶ δεκαεπτὰ ἔτη τῆς ἀνομβρίας ἐπικρατούσης, δι' ἣν καὶ ἡ Νῆσος σχεδὸν ἠρήμωται, κατὰ τὸν γεωγράφον Μελέτιον· καὶ ὁ ἐν τῷ 'Ομόδῳ "Αγιος Κάνναβος, (τὸ σχοινίον λέγω ἐκεῖνο, μεθ' οὗ τὸν γλυκύτατόν μοι Δεσπότην, τὸν Θεάνθρωπον 'Ιησοῦν, ἔδησαν οἱ παράνομοι) θαυμάσια ἄπειρα τελῶν καὶ εἰς τοὺς δαιμονιζομένους μάλιστα ὡς φριττόντων τῶν δαιμόνων τὴν αὐτοῦ δύναμιν, καθὼς καὶ αὐτοὶ μαρτυροῦσιν οἱ δαίμονες ἐκ τῶν ἀνθρώπων ἐξερχομένων. 'Αφήνω νὰ λέγω τὰς εὑρισκομένας θαυματουργοὺς Εἰκόνας· ἀφήνω νὰ λέγω τὸ 'Αποστολικὸν τοῦ 'Ιεροῦ Φιλίππου Κρανίον καὶ ἄλλα "Αγια Λείψανα καὶ μάλιστα τὸν ἐν τῷ Κύκκῳ εὑρισκόμενον "Αγιον Θρόνον, ἐκ σανίδος ὄντα, ἔχοντα ἐν ἑαυτῷ ἐντέχνως μέρη 'Αγίων Λειψάνων πολύτιμα, ὡς μεμαρτυρημένα καὶ εὐωδίας πλήρη· ἀφήνω νὰ λέγω τὸν εἰς τὴν Σκάλαν τῆς Λάρνακος Πόλεως μέγιστον Ναὸν τοῦ 'Αγίου Λαζάρου, ἀρχαιότατον, ὡς μαρτυρεῖ καὶ ἡ οἰκοδομὴ ἐκ τῶν χρόνων αὐτοῦ, ὡς λέγεται, ἐν ᾧ καὶ τὸ 'Ιερὸν Μνῆμα τοῦ Δικαίου αὐτοῦ Λαζάρου, ὡς Κιτιέων 'Ιεράρχου χρηματίσαντος· ἀφήνω νὰ λέγω τὸ πλησίον τῆς 'Αμμοχώστου σπήλαιον ἔνθα τὸ 'Αποστολικὸν τοῦ 'Αγίου Βαρνάβα εὕρηται Λείψανον, μετὰ τοῦ κατὰ Ματθαῖον 'Αγίου Εὐαγγελίου, ἐν τοῖς χρόνοις τοῦ Αὐτοκράτορος 'Ρωμαίων Ζήνωνος, δι' ὃν καὶ 'Αποστολικὸς Θρόνος λέγεται, ὃν ἔχει ὁ Μακαριώτατος Κύπρου, καθὰ καὶ ὁ ζηλωτὴς Δωσίθεος, ὁ 'Ιεροσολύμων Πατριάρχης μαρτυρεῖ ἐν Βιβλίῳ ε'. περὶ τῶν 'Ιεροσολύμοις Πατριαρχευσάντων, ὅτε καὶ τοῦ Κναφέως Πέτρου τοῦ 'Αντιοχείας ἐνοχλοῦντός τοὺς Κυπρίους βασιλικῶς ὑπὸ τοῦ Ζήνωνος ὥρισται «ἔχειν τὸ ἀνεπηρέαστον καὶ αὐτόνομον τὴν τῶν Κυπρίων 'Εκκλησίαν, κατὰ τοὺς Θείους Κανόνας καὶ τὴν ἀρχαίαν παράδοσιν».

'Εγγὺς τοῦ 'Ανατολικοῦ τούτου Μνήματος μέγιστος καὶ ἀρχαῖος Ναὸς καθορᾶται τοῦ 'Αποστόλου Βαρνάβα, ἐπισκευασθεὶς καὶ οὗτος ἐν ταῖς ἡμέραις τοῦ Μακαριωτάτου κὺρ Φιλοθέου, ὡς καὶ τοῖς πᾶσι δῆλον· ἀφήνω νὰ λέγω καὶ τὸν Ναὸν τοῦ Θαυματουργοῦ Σπυρίδωνος, εἰς Τριμυθοῦντα τὴν 'Επισκοπὴν αὐτοῦ. Ταῦτα πάντα παρατρέχω, ἐπειδὴ σκοπός μοι ἐστὶ καὶ λόγος περὶ τῆς Χαριτοβρύτου Θεομητορικῆς Εἰκόνος, τῆς 'Ελεούσης τοῦ Κύκκου καὶ Κυκκιωτίσσης

ἐπιγραφομένης, ἡ ὁποία ἀληθῶς ἐστι καὶ σωτηρία τῶν Κυπρίων καὶ καύχημα ὅθεν καὶ πάντες οὐ μόνον Χριστιανοὶ, ἀλλὰ καὶ Ἐθνικοὶ, εὑρισκόμενοι εἴς τινα περίστασιν ἢ κίνδυνον, Παναγία μου τοῦ Κύκκου ἐπιβοῶσιν· οὕτω πολὺ τὸ αἰδέσιμον τῆς Ἱερᾶς ταύτης Εἰκόνος μαρτυροῦσιν οὐ μόνον οἱ ἄνθρωποι, ἀλλὰ καὶ αὐτὰ τὰ ἀναίσθητα ξύλα· μέχρι γὰρ τοῦ νῦν φαίνονται δένδρα ὑποκλινῆ, ἔνθα τὸ πρῶτον ἐξέβη τοῦ πλοίου ἡ Θεομητορικὴ αὕτη Εἰκών. Ἀλλὰ τί τοῦτο πρὸς τὰ καθ᾽ ἑκάστην τελούμενα ἄπειρα θαύματα ἐν ξηρᾷ καὶ θαλάσσῃ, εἰς τοὺς μετὰ Πίστεως αὐτὴν ἐπικαλουμένους καὶ εἰς ἀνομβρίας μάλιστα; ὥστε, εἰ μὴ ἦν ἐν τῇ Κύπρῳ ἡ Ἁγία Εἰκὼν αὕτη, πάλαι ἂν ὑπὸ τῆς ἀνομβρίας ἀπώλετο, καθώς ποτε καὶ ἠρημώθη ὡς μὴ γενομένου ὑετοῦ ἐπὶ δεκαεπτὰ ἔτη, καθὰ προείρηται· μάλιστα δὲ τανῦν ἀπώλετο ἂν ὡς μὴ δυναμένη ἀντέχειν ὑπὸ δύο φοβερῶν δεινῶν μαστίζεσθαι, τῆς ἀνομβρίας καὶ τῆς ἀκρίδος.

Εἰ δὲ προβάλλοι τις καὶ πῶς οὐ διαλαμβάνουσι περὶ ταύτης τῆς Μονῆς οἱ Ἱστορικοὶ, οὔτε μὴν περὶ τῆς ἐν τῇ αὐτῇ Ἁγίας Εἰκόνος ὡς παρὰ τοῦ Ἀποστόλου Λουκᾶ ἱστορηθείσης, γινωσκέτω, ὅτι οὐ σκοπὸς τοῖς ἱστορικοῖς τὰ τοιαῦτα συγγράφειν, οὔτε γὰρ περὶ τῆς ἐν Κύπρῳ Ἐγκλείστρας γράφουσί τι, Βασιλικῆς Μονῆς καὶ αὐτῆς λεγομένης, διὰ τὸν Κτίτορα Ἰσαάκιον τὸν Κομνηνὸν, καλουμένης τε οὕτω διὰ τὸ ἔγκλειστον ἐν αὐτῇ χρηματίσαι τὸν ἐπ᾽ ἀρετῇ διαλάμψαντα Ὅσιον Νεόφυτον, καθὰ καὶ ἡ ἰδιοχείρως ἐπιβεβαιωμένη ἐκείνου Διαθήκη, ἡ μέχρι τοῦ νῦν σῳζομένη ἐν τῇ Μονῇ μαρτυρεῖ καὶ τὸ Πατριαρχικὸν Συνοδικὸν Συγγειλιῶδες Γράμμα, γενόμενον κατὰ τὸ ᾳ χ λ α΄. ἔτος τὸ Σωτήριον· οὔτε περὶ τῶν ἄλλων εὐαγῶν Μοναστηρίων καὶ μεγάλων, καθὼς εἶναι φανερὸν εἰς τοὺς ἀναγινώσκοντας τὰ Ἱστορικά· ἀλλ᾽ οὐδὲ περὶ τῆς Σεπτῆς Θεομητορικῆς Εἰκόνος γράφουσί τι, τῆς ἐν τῷ Κύκκῳ, καθὼς οὐδὲ περὶ τῆς ἐν τῷ Μεγάλῳ Σπηλαίῳ, οὔτε μὴν περὶ τῆς ἐν τῷ Ἄθωνι τῆς Πορταϊτίσσης· ἀρκοῦσι γὰρ αἱ Κτιτορικαὶ Διατάξεις καὶ συγγραφαὶ εἰς τὸ δηλῶσαι ἑκάστου Μοναστηρίου τὰ προνόμια καὶ κειμήλια. Εἰδέ τις εἴποι, καὶ πῶς οἱ Λατῖνοι κυριεύσαντες τὴν Κύπρον δὲν ἔλαβον τὴν Ἁγίαν ταύτην Εἰκόνα, ἀποκρίνομαι εἰς αὐτόν· καθὼς κυριεύσαντες καὶ τὸν Μωραίαν δὲν ἔλαβον οὐδὲ τὴν οὖσαν ἐν



Παιδίον ὡσεὶ νεκρὸν Κείμενον, ἔμπροσθεν τῆς Ἁγίας Εἰκόνος. ἡ δὲ Μήτηρ αὐτοῦ, ὑγιὲς ἀνέλαβεν αὐτό. καὶ Παραλυτικός τις ἐν Κωνσταντινουπόλει, τῇ ἐπιθέσει τοῦ ἱεροῦ Μανδύου τελέως θεραπεύεται.
1. Ἡ τὸ Παιδίον αὐτῆς ὑγιὲς λαβοῦσα γυνή. ὡς Τεθνηκὸς ὄν.
2. Ὃς ἐν Κωνσταντινουπόλει ἰαθείας ἀσθενὴς, Παραλυτικὸς ὤν.

τῷ Μεγάλῳ Σπηλαίῳ, ἴσως δὲ ταῦτα προβάλλων ἀγνοεῖ τὴν τῶν Ῥωμαίων εὐλάβειαν, οἵτινες προθύμως στέργουσι τῆς ζωῆς στερηθῆναι ἢ τῶν τοιούτων Σεβασμάτων. Φαίνονται μάλιστα καὶ ἐν Κύπρῳ κατὰ τὸ Ὄρος τοῦ Κύκκου πολλὰ Σπήλαια, εἰς τὰ ὁποῖα πολλάκις καιροῦ καλοῦντος ἔκρυπτον τὴν Ἁγίαν Εἰκόνα. καθὼς καὶ νῦν ποιοῦσιν οἱ ἐν τῇ Μονῇ Πατέρας ἐν καιρῷ καταδρομῆς, ἔχοντες μετὰ στοχασμοῦ ἄλλην Ἁγίαν Εἰκόνα ἴσην ἐκείνης καὶ κατὰ πάντα ὁμοίαν, τὴν ὁποίαν θέτουσιν ἐν καιρῷ χρείας εἰς τὸν τόπον ἐκείνης, κεκαλυμμένην οὖσαν καὶ αὐτὴν, καὶ τοῖς πολλοῖς ἀγνοουμένην. Διὰ τοῦτο ἴσως καὶ οὐδὲ ἐκόσμησαν αὐτὴν πρὸ τῆς αἰχμαλωσίας, ἵνα μὴ τοῖς πολλοῖς δοκεῖ διαφέρειν τῆς ἄλλης· μετὰ γὰρ τὴν τῶν Ἐθνικῶν ἐπικράτειαν ἓξ ἔτη παρῆλθον καὶ ἐκοσμήθη ἡ Ἁγία Εἰκών, Ἡγουμενεύοντος τοῦ τότε Γρηγορίου. Ἦν δὲ καὶ ἐξ ἀρχῆς κεκαλυμμένη, ὡς μὴ οὖσα κοσμημένη καὶ μέχρι τοῦ νῦν δὲ πάλιν ἐστὶ μετὰ Μανδίου, διὰ τὸ Ἅγιον Πρόσωπον τῆς Θεομήτορος καὶ τοῦ Δεσπότου Χριστοῦ· τοῦτο γὰρ ἀφέθη ἀκόσμητον· κεκαλυμμένον ὅμως ἐστὶ καὶ οὐδεὶς τολμᾷ ἀνακαλύψαι τοῦτο, ὡς παιδευθέντων διὰ τὴν τόλμην πολλῶν, τῆς αἰτίας ἀγνοουμένης καὶ ἴσως διὰ τὴν αὐτὴν ἀπιστίαν, καθὼς καὶ τοῦτο ἔπαθε καὶ ὁ Ἀλεξανδρείας Γεράσιμος ὁ Σοφώτατος ἐκεῖνος καὶ Ἁγιώτατος, κατὰ τοὺς χιλίους ἑξακοσίους ἐνενήντα ἐννέα· παιδευθὺς ὅμως μικρὸν, πιστεύω, ἔκραξε μετὰ δακρύων τὴν Ἱεροτυπίαν ταύτην εἶναι τοῦ Ἀποστόλου Λουκᾶ, καὶ ζητεῖ διὰ τὴν τόλμαν συγχώρησιν, ἧς καὶ ἔτυχεν ὡς μετανοήσας, διὰ τὸ ὁποῖον καὶ αὐτὸς ἐβεβαίωσεν ὕστερον τοῦτο διὰ τοῦ ἰδίου Γράμματος, ὅπερ καὶ καταστρωθήσεται ἐν τῷ τέλει, καίτοι ἀσαφὲς ὄν, διὰ τὸ γριφῶδες τῆς συντάξεως, μετὰ καὶ ἑτέρων Πατριαρχικῶν Γραμμάτων.

Φαίνεται ὅμως ἐν τῇ Ζωγραφίᾳ πῶς εὑρίσκετο ἀσκεπὴς ἡ Ἁγία εἰκὼν ἐν τῷ Παλατίῳ τοῦ Βασιλέως, ἐμβαλλομένη δὲ ἐν τῷ βασιλικῷ πλοίῳ ἐκαλύφθη πάντοθεν διὰ ἀσφάλειαν, καὶ ἔκτοτε ἦν οὕτω κεκαλυμένη μετὰ μανδίου οἰκονομικῶς. Ὅταν δὲ ἀλλάσσωσι τὸ λεγόμενον τοῦτο Μανδίαν τῆς Ἁγίας Εἰκόνος, ὄπισθεν ἱστάμενοι τὴν ὑπηρεσίαν ταύτην ποιοῦσι μετὰ φόβου καὶ τρόμου, Ἐγὼ τολμᾶν ἐν τοῖς τοιούτοις οὐ θέλω (ἔμαθον γὰρ ἐξ ὧν ἔπαθον), ἕκαστος

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

δὲ ποιείτω ὡς βούλεται, ἐὰν ὅμως καὶ δύναται· οὐδὲ γὰρ ὁ Ἁγιώτατος Πατριάρχης Ἀντιοχείας Σίλβεστρος, ἐτόλμησέ τι τοιοῦτον ἐν τῇ Ἁγίᾳ Εἰκόνι, οὔτε ὁ Ἀλεξανδρείας Κοσμᾶς, οὔτε ὁ πρὸς αὐτὴν εὐλαβέστατος Ἀρχιεπίσκοπος τῆς Κύπρου Φιλόθεος.

Ὄντως εὐλογημένοι οἱ τοιαύτης ἑκάστοτε ἀπολαύοντες Χάριτος καὶ Μακάριοι οἱ εὐλαβῶς περιπτυσσόμενοι, Ὑπέραγνε Δέσποινα, τὴν Ἁγίαν ταύτην καὶ Θείαν Εἰκόνα σου. Χάρις γὰρ ἀληθῶς ἐξεχύθη ἐν αὐτῇ· διὸ καὶ ἀπείροις μεγαλύνεται Θαύμασι, καθὰ καὶ τὰ Συνοδικὰ μαρτυροῦσι Γράμματα, γενόμενα κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἑβδομηκοστὸν δεύτερον ἔτος τὸ Σωτήριον, ἐν ᾧ τρεῖς περιέχονται Πατριάρχαι, ὁ Κωνσταντινουπόλεως Διονύσιος, ὁ Ἀντιοχείας Νεόφυτος καὶ ὁ Ἱεροσολύμων Δωσίθεος, παρόντες κατὰ θείαν οἰκονομίαν τότε ἐν Κωνσταντινουπόλει, ὅτε παρῆν καὶ ὁ Ἀρχιεπίσκοπος Κύπρου Νικηφόρος· ὁρῶνται δὲ Μητροπολῖται ὑπογεγραμμένοι ἐν τούτοις διάφοροι ἐκ τοῦ Οἰκουμενικοῦ Κλήματος καὶ Λεόντιος ὁ Κυρηνείας, οἵτινες ἐπιβεβαιοῦσι τὸ Ἱερὸν Μοναστήριον τοῦ Κύκκου ὡς Σταυροπήγιον καὶ ἀνενόχλητον εἶναι παρὰ πάντων Ἱερωμένων καὶ Λαϊκῶν διακελεύονται μετὰ βαρυτάτων ἐπιτιμίων, ἀρκουμένου καὶ τοῦ κατὰ καιρὸν Ἀρχιεπισκόπου Κύπρου τῷ Κανονικῷ μόνον Μνημοσύνῳ ὡς ἀποφαίνονται. Βλέπε δὲ κἀνταῦθα Θείαν Οἰκονομίαν καὶ θαύμαζε, δοξάζων κἀν τούτῳ τὴν Ὑπέραγνον Δέσποιναν· ἐπεὶ γὰρ οὐ παρῆν τότε συνεδιάζων τοῖς λοιποῖς καὶ ὁ Ἀλεξανδρείας ἐν Κωνσταντινουπόλει, ᾠκοδόμησεν ἡ Ἁγία Θεοτόκος καὶ οὐ μόνον ἐβεβαίωσεν ὅσα καὶ οἱ λοιποὶ Πατριάρχαι, ἐλθὼν ἐνταῦθα προσκυνήσεως χάριν ὁ ἀοίδιμος ἐκεῖνος Πατριάρχης Ἀλεξανδρείας Γεράσιμος, ἀλλὰ καὶ τὴν Θεομητορικὴν Εἰκόνα (ἧς αὐτόπτης ἐγένετο) παρὰ τοῦ Ἀποστόλου Λουκᾶ ἱστορηθῆναι ἐμαρτύρησεν, ὡς δηλοῖ τὰ γραφόμενα· σῴζονται γὰρ ἐν τῇ Μονῇ τὰ Γράμματα ταῦτα μέχρι τοῦ νῦν καὶ τὰ ἴσα τούτων κατεστρώθησαν ἐν τῷ Κώδικι.

Ἔχει δὲ τὸ Ἱερὸν τοῦτο Μοναστήριον μετόχια καὶ ἐν ἄλλοις διαφόροις τόποις, οἷον ἐν Κωνσταντινουπόλει, ἐν Φιλιππουπόλει, ἐν Σμύρνῃ, ἐν Ἀτταλείᾳ καὶ Ἀλλαχοῦ, ὡς διὰ τῆς ἐλεημοσύνης τῶν Χριστιανῶν κυβερνώμενον ἐν τοῖς χρόνοις τούτοις, μὲ τὰ λεγόμενα ταξείδια. Ἐν Κύπρῳ δὲ ἔχει ταῦτα· τὸ τοῦ Ἁγίου Γεωργίου εἰς



Πεντάγιαν, ὅπερ καὶ δωρήσασθαι τῇ Μονῇ πρῶτον τόν τε Δοῦκα λέγουσι καὶ Γεώργιον ἐκ τούτου καλεῖσθαι συμπεραίνουσιν, ὅστις καὶ τοὺς νερομύλους ἐχαρίσατό τῷ Μοναστηρίῳ, ὅτε πρῶτον ἐκτίσθη παρὰ τοῦ Ἡσαΐου καὶ τὸ τοῦ Σωτῆρος, τὸ λεγόμενον Πάνιον, ὅπερ ἕτερός τις ὕστερον τῇ Μονῇ ἐδωρήσατο· τὰ δὲ λοιπά εἰσι μεταγενέστερα, οἷον τὸ τοῦ Ἀρχαγγέλου, ἐγγὺς τῆς Λευκωσίας, τὰ ἐν Μεσαωρίᾳ καὶ τὰ ἐν Πάφῳ, ὁ Σίντις λεγόμενος καὶ τὸ Πολέμι. Ἁρμόδιόν ἐστι νὰ γράψωμεν λοιπὸν καὶ περὶ τοῦ Ἁγιάσματος τῆς Παναγίας εἰς ποῖον μέρος καὶ πῶς εὑρέθη.

Μοναχός τις πορευόμενος εἰς ἐργασίαν τῆς Μονῆς ἐν καιρῷ θέρους καὶ ἐλθὼν ἄνωθεν τῆς Βασιλικῆς, περιβόλιον αὕτη εἰς τόπον καλούμενον Πυργὶ, ἀποκαμὼν δὲ ἀπὸ τὸν καύσωνα τοῦ Ἡλίου κατετρύχετο ὑπὸ τῆς δίψης καὶ ἔπεσε χαμαὶ λιποθυμῶν· ὅθεν δεηθεὶς τῆς Θεοτόκου θερμῶς καὶ μετὰ δακρύων εἶπε· Παναγία Θεοτόκε, σῶσόν με, ὅτι ἐκ τῆς δίψης ἀπόλλυμαι. Εὐθὺς οὖν ἡ ταχεῖα εἰς ἀντίληψιν τῶν αὐτὴν μετὰ πίστεως ἐπικαλουμένων ἐπρόφθασεν αὐτόν· καὶ ἤκουσε φωνῆς λεγούσης αὐτῷ, κτύπησον μὲ τὴν χεῖρά σου τὸν λίθον, ἐφ' ὃν κάθησαι, καὶ εὑρίσκεις ὕδωρ· ἦν δὲ ὁ λίθος παμμεγέθης εἰς τόπον ἄνικμον καὶ τελείως ἄνυδρον. Ὁ δὲ οὕτω ποιήσας εὐθὺς, ὢ τῶν θαυμασίων σου, Δέσποινα ! ἀνέβλυσεν ὕδωρ γλυκύτατον, ἐξ οὗ ἔπιε, καὶ ῥωννύμενος ἀνέστη καὶ ἐπορεύετο χαίρων καὶ στραφεὶς εἰς τὴν Μονὴν ἀνήγγειλεν ἅπαντα τοῖς Πατράσιν. Ἔκτοτε οὖν μέχρι τῆς σήμερον ἐκεῖ γίνονται θαύματα χάριτι τῆς Θεοτόκου, καθὼς σαφέστατα μαρτυροῦσι καὶ οἱ ἰαθέντες, ἐξ ὧν ἐστιν εἷς Ἱερομόναχος Μελέτιος τοὔνομα, ὅστις ἔπασχε κεφαλαλγίαν μεγίστην τοσοῦτον σφοδρῶς, ὅσον καὶ ἐπρήσθη ἡ κεφαλή του ὅλη καὶ ἀπελπισθεὶς ἀπὸ κάθε ἀνθρωπίνην δύναμιν ἐπρόστρεξεν εἰς τὴν Θεοτόκον καὶ πορευθεὶς εἰς τὸ Ἄνωθεν Ἁγίασμα καὶ λαβὼν ὕδωρ ἔλουσε τὴν κεφαλήν του καὶ παρευθὺς, ὢ τοῦ θαύματος ! ἐκ τοῦ πάθους ἀπηλλάγη.

Ἕτερος δέ τις Μοναχὸς, Ἀντώνιος καλούμενος, κωμοδρόμος τῆς Μονῆς, πληγωθεὶς εἰς τὸν ἕνα πόδα αὐτοῦ ἕλκει θανατηφόρῳ, τόσον, ὁποῦ ἐλεπρώθη ὅλον τὸ ποδάριόν του, ἐξώδευσεν εἰς Ἰατροὺς πλεῖστα καὶ μὴ εὑρὼν καμμίαν θεραπείαν ἢ ἰατρείαν τελείαν εἰς τὴν

μνήμην αὐτοῦ ἦλθε τὸ Ἁγίασμα καὶ προσδραμὼν μετὰ δακρύων καὶ θερμῆς πίστεως καὶ ἐπικαλεσάμενος τὸ Πανύμνηστον Ὄνομα τῆς Θεομήτορος ἔφθασεν εἰς τὸ Ἁγίασμα καὶ λαβὼν ἐξ αὐτοῦ ὕδωρ ἔπλυνε τὸν πόδα του καὶ εὐθὺς ἀποκατέστη ὑγιὴς καὶ ἀπῆλθεν ἀγαλλόμενος καὶ δοξάζων τὴν Ὑπέραγνον Δέσποιναν.

Ἕτερος δέ τις Μοναχὸς Παρθένιος ὀνόματι, κατατρυχόμενος ὑπὸ ἀσθενείας τοῦ πυρετοῦ, ἐπέκεινα τῶν δεκατριῶν μηνῶν, εὐθὺς ὁποῦ ἔπιε, νιψάμενος ἐκ τοῦ Ἁγιάσματος, τὴν ὑγείαν ἔλαβε. Τί οὖν ἀπαριθμῶ ἓν καθ' ἕν, ὁποῦ ὁσημέραι ἀποτελοῦνται μὲ τὴν δύναμιν τῆς ἀειπαρθένου καὶ Θεόπαιδος Δεσποίνης, ἀναρίθμητα καὶ ἀνεκδιήγητα, τεράστια καὶ θαυμάσια ἐξ αὐτοῦ τοῦ Ἁγιάσματος, ὥστε ὅστις προσέλθῃ εἰς αὐτὸ μετὰ θερμῆς πίστεως ἐλευθεροῦται (ὢ τῶν Θαυμασίων σου, Μήτηρ ἀπείρανδρε, οἷα ἐδωρήσω τῷ Ἁγιάσματί σου!) ἀπὸ κάθε ἀνίατον πάθος, ὁποῦ ἤθελεν ἔχει.

Ἔτι ἀφήνω νὰ λέγω καὶ τὴν Μονὴν καλουμένην καὶ ἐπιλεγομένην, οὐκ οἶδα ὅπως, τῶν Ἱερέων, ὡς ἐν αὐτῇ καθορᾶται γεγραμμένον, ἡ Μ ο ν ὴ τ ῶ ν Ἱ ε ρ έ ω ν, διάσημον τὸ πάλαι Μοναστήριον καὶ ἀρχαῖον, ὡς κτισθὲν ἐγγὺς τῆς Βασιλείας τοῦ μεγάλου Κωνσταντίνου παρὰ τοῦ Ἁγίου Εὐτυχίου, συνεργὸν ἔχοντος καὶ τὸν Μέγαν Νικόλαον, ἔτι Λαϊκὸν ὄντα, καὶ ἀπὸ εἰδωλικὸν Ναὸν μιαρᾶς τινος θεᾶς τῶν Ἑλλήνων εἰς Ναὸν μέγιστον καὶ κάλλιστον τῆς Θεοτόκου παρ' αὐτῶν ἀνοικοδομηθέντα, ὡς μέχρι τοῦ νῦν ὁρᾶται, εἰ καὶ μὴ ἡ αὐτὴ οἰκοδομή· καὶ τόπος δὲ δείκνυται παρὰ τῶν ἐκεῖσε εὑρισκομένων, ἐν ᾧ ἰδίως προσηύχετο ὁ μέγας Νικόλαος, Π ρ ο σ ε υ χ ὴ λεγόμενος μέχρι τῆς σήμερον. Τοῦτο τοίνυν τὸ πάλαι διάσημον Μοναστήριον, διαφθαρὲν καὶ ἐρημωθὲν, ἐγένετο μετόχιον τοῦ Κύκκου καὶ ἀνῳκοδομήθη παρά τινος Νικηφόρου, Ἡγουμένου ἐπιγραφομένου Κύκκου καὶ Μονῆς, ὅστις καὶ Ἀρχιεπίσκοπος ἐχρημάτισε Κύπρου ὕστερον. Οἶδα ὅτι ἀπιστήσουσι τοῖς γραφομένοις οἱ ἀναγινώσκοντες, καθὼς ἠπίστουν κἀγώ· πλὴν ἀπελθὼν ἐκεῖσε ἐζήτησα περιέργως ἔγγραφόν τι πρὸς βεβαίωσιν τῶν λεγομένων· ἀλλ' οὐδὲν ἔχει ἔλεγον οἱ ἐκεῖσε Πατέρες. Περιερχόμενος γοῦν τὸ σκευοφυλάκιον θεωρίας χάριν εὗρον ἐκεῖ παρερριμμένον, ὡς ἀγνοούμενον, μικρόν τι τετράδιον, ἐν μεμβράναις παμπάλαιον καὶ



Ὁ ἰαθεὶς λιθαργός, λαβὼν τὴν εἰκόνα φεύγει ἐκ τῆς πυρκαϊᾶς καὶ θέτει αὐτὴν ἔν τινι πάγῳ.

ἀναγνοὺς αὐτὸ Ἑλληνικὸν ἔχον ὕφος ἔγνων μέρος εἶναι ἐκ τοῦ Βίου τοῦ Ἁγίου Εὐτυχίου, ὡς ἄλλον Μωϋσέα αὐτὸν ἐπαινοῦντος τοῦ Συγγραφέως, καὶ καθὼς Μωσεῖ δέδωκε βοηθὸν ὁ Θεὸς τὸν Ἀαρὼν, οὕτω τῷ Ἁγίῳ Εὐτυχίῳ διδάσκοντι ἐν Κύπρῳ ἐδόθη βοηθὸς ἐκ Θεοῦ ὁ Ἱερὸς Νικόλαος, λέγοντος. Καὶ πρὸς πίστωσιν τίθημι αὐτολεξεὶ τὰ ἅπερ εὗρον ἐκεῖσε ἀπαραμείωτα. «Καὶ καθάπερ τῷ Μωϋσεῖ, »φησὶ, ἐδόθη βοηθὸς ὁ Ἀαρὼν, οὕτω καὶ τῷ Εὐτυχίῳ ἐδόθη ὁ »Συστρατιώτης Νικόλαος· μετ' αὐτοῦ γὰρ τὸν Ναὸν τῆς ἀκαθάρτου »θεᾶς κατέβαλε καὶ κάλλιστον τέμενος τῆς Ἁγίας Θεοτόκου ἀνή»γειρε καὶ ἐκ τῶν λίθων τῆς Θεομάχου καὶ ἀκαθάρτου θεᾶς, τὸν »ὁρώμενον Ἅγιον Οἶκον ᾠκοδόμησεν. Εὐτύχιος μὲν τοὺς λίθους »ἤνεγκε, Νικόλαος δὲ ἐλαξεύσατο καὶ ἀμφότεροι ᾠκοδόμησαν· καὶ »ἡ Θεοτόκος Ἁγνὴ καὶ ἀμόλυντος ἐνῴκησε, Νικόλαος τῆς Λυκίας »τὴν Προεδρείαν ἐμπιστεύεται, ὁ δὲ Μακάριος Εὐτύχιος ἐνταῦθα κατέμεινεν ἐν τοῖς πόνοις τῶν καρπῶν αὐτοῦ ἀγαλλόμενος». Καὶ ταῦτα μὲν ἐξ ὧν ἐτύχομεν Γραμμάτων ἱκανὰ πρὸς πίστωσιν.

Καιρὸς δὲ δηλῶσαι καὶ περὶ τοῦ γενομένου πρώτου ἐμπρησμοῦ καὶ ὅσα ἀκόλουθα, ἔτι δὲ καί τινα Θαύματα συγγράψαι, καὶ ἅπερ ἑώρακα μάλιστα, καὶ οὕτω τέλος ποιῆσαι· ἐπεὶ οὐδὲ εὐκαιρῶ γράφειν πλείονα καὶ ταῦτα γὰρ ἐν βίᾳ ἔγραψα. Εἴθε δὲ ἀποδεχθείη τοῦτο εὐμενῶς ἡ Ὑπέραγνος Δέσποινα καὶ ὁ Μονογενὴς Υἱὸς αὐτῆς ἐπὶ ταῖς ἁμαρτίαις μου καὶ παράσχοι μοι τελείαν τὴν συγχώρησιν καὶ καὶ ἐπὶ τοῦ φοβεροῦ αὐτοῦ βήματος ἀκαταίσχυντον τὴν παράστασιν, ὅτε ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκροὺς, κατὰ τὰς Γραφάς. Ὑμεῖς δὲ, ὦ Πατέρες Σεβάσμιοι, δεχόμενοι τοῦτο προθύμως (καίτοι μὴ γινόμενον ὡς ἐζητήσατε κατὰ πάντα ἁπλοϊκῶς, ἀλλ' οὐδὲ οὖν πάλιν Ἑλληνικῶς, μεταξὺ δὲ τούτων, κατὰ τὰς διαφόρους ὑποθέσεις, ἀποκλῖνον πότε μὲν εἰς τὸν Ἑλληνικὸν χαρακτῆρα, πότε δὲ εἰς τὸν ἁπλωϊκώτερον, ὡς καὶ ἐδυνήθημεν καὶ ᾠκονόμησεν ἡ Παντάνασσα) εὔχεσθε ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον καὶ τὴν ἀειπάρθενον Δέσποιναν, μὴ ἀμνημονοῦντες τῶν ῥημάτων μου, ἀλλὰ φυλάττοντες τὸς Μοναστηριακὰς Παραδόσεις καὶ Ἐκκλησιαστικὰς Ἀκολουθείας, ὡς παρελάβετε καὶ μάλιστα ὑμεῖς οἱ τῆς Ἱερᾶς Συντάξεως Γέροντες καὶ οἱ κατὰ καιροὺς Προφῆτες, φροντίζοντες πάντοτε διὰ τὸ συμφέρον

τοῦ Ἱεροῦ Μοναστηρίου καὶ μᾶλλον διὰ τὴν ψυχικὴν ὠφέλειαν τῶν ἐν τῇ Ἁγίᾳ ταύτῃ Μάνδρᾳ περιεχομένων, ὡς λόγον ἀποδώσοντες ὑπὲρ αὐτῶν, καθὼς ὁ Θεῖος λέγει Ἀπόστολος. Καὶ ταῦτα μὲν περὶ τούτων ἱκανά.

Ὁ δὲ ἐμπρησμὸς οὕτως ἐγένετο κατὰ τὸν Συγγραφέα, τὸν καὶ μαρτυροῦντα, ὅστις συνέγραψε πάντα· διὸ καὶ πιστεύεσθαι ἄξιος· ἐπειδὴ μετὰ τὸν ἐμπρησμὸν πεντήκοντα καὶ ἑπτὰ ἔτη παρῆλθον ὅτε συνέγραψεν αὐτὸς πάντα ταῦτα καὶ διώρθωσε καλῶς, ὡς γράφει, πλὴν δὲν φανερώνει καὶ τὸ ὄνομά του ὁ εὐλογημένος καὶ ὄντως ἀξιομακάριστος διὰ τοῦτο, ὁποῦ συνέγραψεν, ἀγκαλὰ καὶ διὰ τὴν προκοπήν του καὶ διόρθωσιν, ὁποῦ λέγει, δὲν χρειάζεται μαρτυρίαν τινά, ἐπειδὴ μαρτυροῦν τὰ γραφόμενα. Συνέτρεχον ἐξ ἀρχῆς εἰς τὴν Μονὴν διὰ τὰ ἄπειρα τῆς Θεοτόκου Θαύματα πανταχόθεν ἀσθενεῖς καὶ δαιμονιζόμενοι, καθὼς καὶ τανῦν, ποθοῦντες νὰ ἀπολαύσουν τὴν ὑγείαν τους· ἦν δὲ καὶ πτωχός τις ἐν τῇ Μονῇ τότε, ἀσθενὴς ὢν καὶ τελείως ληθαργός, ὅτε καὶ κατὰ φθόνον τοῦ διαβόλου ἐγχώριός τις ἐκ τῶν πλησίων Κωμῶν ἐπορεύθη εἰς τὸ Ὄρος εὑρεῖν ἀγριομέλι, ὅπερ καὶ κατὰ συγκυρίαν εὑρὼν ἐπέθηκε πῦρ τοῦ διῶξαι τὰς μελίσσας. Αἴφνης δὲ ἐκ τοῦ πυρὸς ἐκείνου φλὸξ μεγάλη ἐγένετο καὶ τὸ βόρειον μέρος πυρπολήσασα ἔφθασε καὶ μέχρι τῆς Μονῆς. Ἦν δὲ ὁ ληθαργὸς τότε κοιμώμενος παρὰ τοὺς πόδας τῆς Θεοτόκου καὶ βλέπει ἐν ὁράματι τὴν Ὑπέραγνον Δέσποιναν, λέγουσαν αὐτῷ· «Ἐγέρθητι ταχέως καὶ λαβὼν τὴν Εἰκόνα μου φεῦγε καὶ σῴζου». Ἔξυπνος οὖν γενόμενος ὁ ἀσθενῶν καὶ θεασάμενος ἑαυτὸν μὲν ὑγιῆ, τὸ δὲ πῦρ ἐγγύσαν τῇ Μονῇ λαμβάνει τὴν Ἁγίαν Εἰκόνα, ὢ τοῦ Θαύματος! καὶ ἔρχεται ἕως τοῦ Πεύκου, ὅς ἦν ἄνωθεν τῆς Μονῆς πρὸς τὸ Νότιον μέρος καὶ ἐπέθηκεν αὐτὴν ἐν τῷ Πεύκῳ, οὗ καὶ τὰς ῥίζας οἱ Εὐσεβεῖς ἀνέσπασαν δι' εὐλάβειαν· ἔτσι δὲ νῦν ἄλλος τις μέγας, ὡς ὁρᾶται ἐγγὺς τοῦ τόπου, ἔνθα ἦν ἐκεῖνος· θεασάμενοι δὲ μετὰ ταῦτα καὶ οἱ ἐν τῇ Μονῇ Πατέρες τὴν φλόγα, μηδενὸς ἄλλου φροντίζοντες, ὥρμησαν τοῦ λαβεῖν τὴν Ἁγίαν Εἰκόνα ἐκ τοῦ Ναοῦ, μὴ εὑρόντες δὲ αὐτὴν ἐθαύμαζον καὶ ἀποροῦντες ἐθρήνουν ἀπαρηγόρητα. Ἀλλ' ἐπεὶ τὸ πῦρ οὐ μόνον τὸν Ναόν, ἀλλὰ καὶ τὴν Μονὴν ἐπειρπόλει, οὖσαν κατασκευασμένην ἐκ ξύλων, ἔφευγον κλαίοντες,



τὴν ἑαυτῶν σωτηρίαν πραγματευόμενοι. Πυρποληθέντος δὲ τοῦ Μοναστηρίου καὶ πάντων τῶν ἐν αὐτῷ βιβλίων, Εἰκόνων, Κειμηλίων καὶ τῶν λοιπῶν, ὅτε ἔμελλε πλησιάσαι τὸ πῦρ, ἔνθα ἦν ἡ Ἁγία Εἰκών, παραχρῆμα ὑπὸ Θείας δυνάμεως ἐπαναστραφὲν ἀπεσβέσθη. Τοῦτο ἰδόντες οἱ Πατέρες ἔτρεχον πλησίον ἰδεῖν τὸ γεγονὸς καὶ θεωροῦσιν αἴφνης ὑγιῆ τὸν πρώην ἀκίνητον καὶ ἐν τῷ Πεύκῳ τὴν Ἁγίαν Εἰκόνα, καὶ πίπτοντες κατὰ γῆς ἔχυνον ποταμηδὸν δάκρυα, λυπούμενοι μὲν διὰ τὴν φθορὰν τῆς Μονῆς, χαίροντες δὲ διὰ τὴν Ἁγίαν Εἰκόνα, πῶς δὲν ὑστερήθησαν τοιούτου Θησαυροῦ.

Ταῦτα ἀκουσθέντα εἰς τὸν Κρατοῦντα τότε τῆς Νήσου, καλούμενον Ῥεπιὲρ Ντελαζανία, κατὰ τὸν Συγγραφέα, διηγουμένου δὲ μάλιστα πάντα τὰ γενόμενα καὶ τὰ οὗ πρώην ἀσθενοῦς καὶ ληθαργοῦ, ἠθέλησε τοῦ ἀνοικοδομῆσαι τὴν Μονὴν δι' εὐλάβειαν· ἀλλ' ἡ τούτου σύζυγος διὰ τὸ εἶναι τὴν Μονὴν ἐν τῇ τοποθεσίᾳ τῆς Μυριανθούσης, ἥτις ἦν προῖκα αὐτῆς, ἐζήτησε δι' ἰδίων ἀναλωμάτων ἀνοικοδομῆσαι τὴν Μονήν· συγκατανεύσαντος δὲ εἰς τοῦτο τοῦ ἀνδρὸς αὐτῆς, ἦν ὁ λόγος ἔργον εὐθὺς καὶ χρήματα ἐδόθησαν ἱκανὰ τοῖς Μοναχοῖς, ὧν ἀρχηγὸς ἦν τότε Λουκᾶς Ἱερομόναχος καὶ Συμεὼν Μοναχός. Ἐν μηνὶ δὲ Ἰουνίῳ γενομένου τοῦ ἐμπρησμοῦ, εὐθὺς ἀπ' ἀρχῆς Ἰουλίου κατὰ τὸ αὐτὸ ἔτος ἤρξαντο τῆς οἰκοδομῆς τοῦ Ναοῦ καί τινων κελλίων, τελειωθέντων μέχρι τοῦ τέλους Δεκεμβρίου μηνός, κατὰ τὸ ἑξακισχιλιοστὸν ἑβδομηκοστὸν τρίτον ἔτος, συνδραμόντων πολλῶν εἰς τὴν οἰκοδομὴν καὶ πάντων σχεδὸν τῶν Χριστιανῶν βοηθησάντων. Ἀλλὰ καὶ ἡ οἰκοδομὴ ἐκείνη, οὖσα ἐκ ξύλων, οὐκ οἶδα ὅπως, ὑπ ἄλλου ἐμπρησμοῦ πάλιν δεύτερον ἐπισυμβάντος, καθὰ καὶ προείρηται, εἴτε ὑπ' ἄλλης τινὸς αἰτίας ἅπασα διεφθάρη, ἡγουμενεύοντος τοῦ τότε Συμεῶνος Ἱερομονάχου. Κατὰ τὸ χιλιοστὸν πεντακοσιοστὸν τεσσαρακοστὸν δεύτερον ἔτος ἀπὸ Χριστοῦ ᾠκοδομήθη ὁ Ναὸς καὶ τὰ Φοινικωτὰ λεγόμενα Κελλία τὰ πρὸς Δυσμάς, νὰ σῴζωνται μόνον ἐκ τῆς οἰκοδομῆς ἐκείνης ὡς παλαιὰ καὶ τὸ Τραπεζαρεῖον· ἐπειδὴ τὰ πρὸς Ἀνατολὰς καὶ τὰ κατὰ τὸ Νότιον μέρος εὑρισκόμενα νῦν Κελλία ᾠκοδομήθησαν παρὰ τοῦ ἀειμνήστου Ἡγουμένου Μελετίου κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν Σωτήριον ἔτος καὶ ἐπέκεινα. Ἡ δὲ μεγάλη φαινομένη Στέρνα ἐγένετο παρὰ τοῦ

μετ' αὐτὸν ἡγουμενεύσαντος Μακαρίου Σωφρονίου, ἐπιστατοῦντος ἐν τούτοις πᾶσι καὶ τοῦ Μακαρίτου Σκευοφύλακος Χριστοδούδου, πάντων τε τῶν Πατέρων μοχθούντων, καὶ ἐξαιρέτως τοῦ μαΐστορος Χριστοδούλου, κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν τεσσαρακοστὸν πέμπτον ἔτος, ὅτε προεστάτευε τῆς Μονῆς ὁ οἰκονόμος Παρθένιος Ἱερομόναχος. Τότε ᾠκοδομήθη καὶ τὸ πλησίον τῆς Ἐκκλησίας Κελλίον· καὶ ταῦτα μὲν εἰδήσεως μικρᾶς χάριν ἐγράφησαν ἐν συντομίᾳ περὶ τῆς ἐλεύσεως τῆς Ἁγίας Εἰκόνος εἰς Κύπρον καὶ τῶν ἀκολουθησάντων δύο πυρκαϊῶν. Τὸ δὲ Λείψανον τοῦ Ὁσίου Ἡσαΐου οὐχ εὑρέθη τὸ σύνολον οὐδὲ ὁ τόπος, ὃν ἐτάφη, ἐστὶ γνωστὸς, ἀλλὰ καὶ αἱ Κτιτορικαὶ αὐτοῦ Διατάξεις ὑπὸ τοῦ γενομένου ἐμπρησμοῦ διεφθάρησαν.

Ἀλλὰ καιρὸς ἤδη καί τινα διηγήσασθαι θαύματα τῆς Παρθένου διὰ τῆς Ἁγίας ταύτης καὶ Χαριτοβρύτου τελεσθέντα Εἰκόνος· πάντα δὲ εἰπεῖν τὰ καθ' ἑκάστην γινόμενα ἀδύνατον, ὕψος γὰρ Οὐρανοῦ καὶ βάθος Γῆς τίς ἐξιχνιάσει; Ψάμμον τῆς Θαλάσσης καὶ Ἄστρα Οὐρανοῦ τίς ἐξαριθμήσει; εἰ γὰρ ἐπιχειρισθείην συγγράψαι ὅσα ἀκήκοα καὶ ὅσα ἑώρακα, πάντως ἐπιλείψει με ὁ χρόνος διηγούμενον. Ἀλλὰ πρῶτον καὶ θαυμασμοῦ ἄξιόν ἐστι, πῶς ἀπαντᾷ τὸ Σεβάσμιον τοῦτο Μοναστήριον εἰς τόσα ἀπαραίτητα ἔξοδα καὶ καταδρομὰς τῶν ἔξωθεν· πῶς εὑρισκόμενον ἐν οὕτω δυσβάτῳ τόπῳ καὶ ἀπαραμυθήτῳ, κατὰ τὰ σωματικὰ, ἔχει πάλιν ἱκανὰ τὰ πρὸς ζωάρκειαν; πῶς οἱ ἡμίονοι, τὰ τῆς Μονῆς λέγω, μουλάρια, ἀκαταπαύστως κοπιάζοντα τὸς τραχύτητας τῶν ὀρέων πρὸς τὴν τῶν ἀναγκαίων κομιδὴν, οὐδὲν προσβλάπτονται; οὐ μὴν οἱ στρατοκόποι αὐτοὶ, καὶ μάλιστα ἐν καιρῷ χειμῶνος, πῶς τοσούτων ἀπερχομένων προσκυνητῶν μετὰ παιδίων οὐδὲν δεινὸν ἐν ταῖς δυσχερείαις καὶ τῇ τραχύτητι τῆς ὁδοιπορίας πάσχουσιν; εἰ δέ τι καὶ συμβαίη ἐν τοῖς κρημνοῖς, παραδόξως πάλιν βοηθοῦνται οἱ πίπτοντες, καθὼς ποτε γέγονε νηπίῳ τινὶ κρημνισθέντι καὶ παραδόξως φυλαχθέντι. Συνέβη δὲ τοῦτο αὐτὸ καὶ ἐν τῷ πρωτοψάλτῃ Χρυσάνθῳ τῷ Ἱερομονάχῳ, πεσόντι εἰς κρημνώδη τόπον καὶ κίνδυνον ζωῆς ἀπειλοῦντα, ἐξ οὗ παραδόξως ἐσώθη διὰ τῆς Θεοτόκου, ὡς αὐτὸς μαρτυρεῖ. Τίς νὰ ἀριθμῇ τὰ εἰς τοὺς ἀσθενεῖς ἄπειρα Θαύματα καὶ τὰ εἰς τοὺς δαιμονιζομένους; μάλιστα τὰ γινόμενα εἰς τοὺς ἐν τῇ θαλάσσῃ πλέοντας καὶ εἰς κίνδυνον ἐρχομένους; πῶς παραδόξως λυτροῦνται τὴν Θεοτόκον ἐπικαλούμενοι; καὶ ἀρκεῖ ἀντὶ πάντων εἰς μαρτυρίαν ὁ ναυαγήσας ἐκεῖνος καὶ ἐπὶ ψιαθίου ἔνδον τῆς θαλάσσης καθεσθεὶς καὶ τῇδε κἀκεῖσε περιφερόμενος, ὅστις καὶ ἐσώθη εὐθὺς διὰ τῆς Θεοτόκου ἐπικαλούμενος τὴν ἐν Κύκκῳ Χαριτόβρυτον Εἰκόνα αὐτῆς· διὸ καὶ ἐλθὼν ἐμόνασε, κατὰ τὴν ὑπόσχεσιν· Γρηγόριος οὗτός ἐστιν.



Ἕτερος δέ τις Μοναχὸς Ἰάκωβος τοὔνομα· Ζωγράφος τὴν τέχνην, ἔχων ἔνδον του δαίμονα πονηρὸν χρόνους ἱκανοὺς καὶ εἰς Κύπρον κατεντήσας, σῴζων σκοπὸν διὰ νὰ προσπέσῃ εἰς τὴν Ἁγίαν Εἰκόνα καὶ νὰ προσκυνήσῃ αὐτὴν, ὅπως τύχῃ ἰάσεως, μὲ ζέσιν πίστεως ἐκίνησε ἐπὶ κτῆνος καθίσας ἐλθεῖν εἰς τὸ Ἱερὸν Μοναστήριον, μετὰ καὶ ἑτέρων Χριστιανῶν. Ἐξερχόμενος δὲ τῆς Λευκωσίας τῆς Χώρας ἔξωθεν ἤκουον φωνὴν οἱ συνοδοιπόροι τοῦ ῥηθέντος Ἰακώβου, λέγουσαν· Ἰάκωβε, ποῦ βούλεσαι νὰ ὑπάγῃς; στρέψων ὀπίσω καὶ μὴ πηγαίνῃς· ὅπερ γέγονε δὶς καὶ τρίς· ἤκουον μὲν τὴν φωνὴν, τινὰ δὲ οὐχ ἑώρων, ἐπεὶ καὶ ἐλάλει ἔσωθεν αὐτοῦ ὁ δαίμων. Φοβηθέντες οὖν ἠβούλοντο στραφῆναι εἰς τὰ ὀπίσω, ὁρῶντες δὲ τὸν ἄνθρωπον ἥσυχον ὄντα καὶ μηδὲν τὸ σύνολον ταραττόμενον ἢ λαλοῦντα ἔλαβον θάρρος, ἐλπίζοντες εἰς τὴν Ὑπεραγίαν Θεοτόκον καὶ τὸ ὄνομα αὐτῆς ἐπικαλούμενοι ἐβάδιζον τὴν ὁδὸν καὶ ἐλθόντες ἕως ἡμίσους τοῦ δρόμου ἤκουον πάλιν λαλοῦντα τὸν δαίμονα καὶ στενοχωροῦντα τὸν Ἰάκωβον καὶ λέγοντα· Ἰάκωβε, τί κακόν σοι ἐποίησα; τώρα τόσους καὶ τόσους χρόνους, ὁποῦ συνευρίσκομαι σὺν σοὶ, καὶ θέλεις νὰ ὑπάγῃς εἰς τὴν Παναγίαν τοῦ Κύκκου, διὰ νὰ μὲ ἐξελάσῃς; ἢ θαρρεῖς πῶς εἶναι καὶ αὐτὴ ἡ Εἰκὼν ὡσὰν τὰς Εἰκόνας, ὁποῦ ἱστορεῖτε σεῖς; ἕως τοῦ νῦν εἰς κανένα κρημνὸν δὲν σὲ ἔρριψα οὔτε εἰς ὕδωρ οὔτε εἰς πῦρ, καὶ διὰ τί σὺ θέλεις νὰ μὲ κακοποιήσῃς; ὅμως ἤξευρε πῶς δὲν σὲ ἀφήνω νὰ προσκυνήσῃς τὴν Ἁγίαν Εἰκόνα. Οἱ δὲ σύντροφοι τοῦ Ἰακώβου ἐβίαζον τὸ ζῷον, ὅπου ἦτο ἐπιβεβηκώς. Ἀφ' οὗ ὅμως ἔφθασαν εἰς τὸ Ἱερὸν Μοναστήριον καὶ πεζεύσαντες εἰς τὴν πύλην τοῦ Μοναστηρίου ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, ἐπέζευσε καὶ ὁ Ἰάκωβος καὶ ἐκάθισεν. Ἔλεγον οὖν αὐτῷ οἱ Πατέρες τῆς Μονῆς· ὕπαγε εἰς τὴν Ἐκκλησίαν καὶ σὺ νὰ προσκυνήσῃς, ὡς ποιοῦσι καὶ οἱ ἄλλοι. Ἐβουλήθη δὲ δὶς καὶ τρὶς

ἀναστῆναι, ἀλλ' οὐκ ἠδύνατο εἰς τὸ παντελὲς σαλεῦσαι· ἀλλ' ἔγινε τόσον βαρὺς καὶ ὀγκώδης, ἐκ συνεργείας τοῦ δαίμονος, ὥσπερ νὰ ἦτόν τις λίθος μέγας ἀκίνητος. Ἐβάλθησαν δὲ περισσοὶ ὁμοῦ τοῦ ἐγεῖραι αὐτὸν, ὅμως οὐδὲ νὰ τὸν κινήσουν ποσῶς ἐδυνήθησαν. Ἔμεινε δὲ ἐκεῖ εἰς τὴν πύλην τρεῖς ἡμέρας, ὕστερον δὲ μετὰ μεγάλου κόπου καὶ βίας ἔφθασεν ἕως εἰς τὴν Πύλην τῆς Ἐκκλησίας καὶ ἐκεῖ ὁμοίως τὸν ἐμπόδισεν ὁ δαίμων τελείως καὶ οὐκ εἴα αὐτὸν εἰσελθεῖν· ἔλεγε γὰρ οὐκ ἐῶ σε εἰσελθεῖν. Ἄμπωθαν δὲ αὐτὸν καὶ ἐβίαζον, ἵνα ἐμβῇ ἔσω τῆς Ἐκκλησίας, ἀλλ' αὐτὸς ἔμεινεν ἀκίνητος. Ἐστάθη δὲ καὶ εἰς τὴν Πύλιν μερικὰς ὥρας ἐμποδιζόμενος, ὕστερον δὲ μὲ μεγάλην στενοχωρίαν εἰσῆλθεν εἰς τὴν Ἐκκλησίαν καὶ ἐλθὼν ἔμπροσθεν τῆς Ἁγίας Εἰκόνος προσεκύνησεν, ὁ δὲ δαίμων, φρίττων τὴν δύναμιν τῆς Ἀειπαρθένου, ἔρριψεν αὐτὸν χαμαί, καὶ ἐλεεινῶς ἐσπάραξε καὶ σφοδρῶς ἐτάραξε, καὶ εὐθέως ἐξ αὐτοῦ ἀνεχώρησε, τὴν συμφορὰν αὐτοῦ ὀδυρόμενος καὶ λέγων· ὑπάγω ὅτι διώκει με ἡ δύναμις τῆς Ἁγίας Εἰκόνος διὰ τῆς Θεοτόκου· (ὢ τῶν ἀνεξιχνιάστων καὶ ἀπείρων Θαυμασίων σου, Δέσποινα!)· ἠγέρθη δὲ ταχέως ὁ ἄνωθεν Ἰάκωβος ὑγιὴς καὶ σωφρονῶν, ὕμνους καὶ εὐχαριστίας ἀναπέμπον τῇ Θεομήτορι, ὅς τις μετὰ τὴν θεραπείαν ἱστόρησεν Εἰκόνας περισσάς, μάλιστα εἰς τὴν Κύπρον.

Τίς δὲ ἀριθμῆσαι δύναται τὰς ἐν ταῖς ἀνομβρίαις παραδόξως φαινόμενα ὑδατώδη νέφη; τίς εἰπεῖν ἰσχύει τὴν ἀποστροφὴν τῶν ἐν ἀκαθαρσίαις οὐσῶν γυναικῶν· καὶ τί λέγω ταῦτα; ἀληθῶς τινες στεῖραι ἔτεκον, ἄλαλόν τι παιδίον ἐγένετο εὔλαλον καὶ ἕτερον ὡσεὶ νεκρὸν κείμενον ἔμπροσθεν τῆς Θεομητορικῆς ταύτης Εἰκόνος τεθαραπευμένον ἐδείχθη. Ὢ ξένου Θαύματος! ἔστωσαν μάρτυρες τῶν Θαυμάτων πάντων καὶ κήρυκες οἱ ἐν ἀσθενείᾳ γενόμενοι σκλάβοι τῆς Θεοτόκου, καθὼς καὶ ὁ ἐκ Καστορίας Ἀργύρης, ὅστις ἀπό τινος πάθους καταπνιγόμενος καὶ εἰς κίνδυνον ζωῆς εὑρισκόμενος περιέθετο ὡς δοῦλος κατὰ τὸ σύνηθες τῷ τραχήλῳ τὸ Κουλλούριον, ἐν τῇ Μονῇ τότε εὑρεθεὶς ὡς προσκυνητὴς, καὶ παραχρῆμα ἠλευθερώθη τοῦ πάθους, ἰχώρων πολλῶν ἐκχυθέντων ἐκ τοῦ στόματος.

Καὶ ὁ στρατοκόπος δὲ Γεώργιος, συντρίψας τὸν πόδα αὐτοῦ κατὰ τὴν ὁδὸν, ἐντὸς ὀλίγων ἡμερῶν ὑγιὴς παρ' ἐλπίδα πᾶσαν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ



1. Τὸ Κουλλούριον, δι' οὗ οἱ ὑποχεθέντες σκλάβοι ἐλευθερῶνται ἐκ διαφόρων Παθῶν, διὰ τῆς αὐτῶν Πίστεως.

ἀπεδείχθη. Φαίνεται καὶ χεῖρά τις σιδηρᾶ, εἰς μνήμην τοῦ γενομένου πρός τινα Ἐθνικὸν Θαύματος· οὗτος γὰρ κινήσας τὴν χεῖρα κατὰ τῆς Ἁγίας Εἰκόνος, ἔλαβεν εὐθὺς τὴν παιδείαν, τῆς χειρὸς αὐτοῦ ξηρανθείσης· ὅθεν καὶ πάντες φρίττουσιν οἱ Ἐθνικοὶ Παναγίαν τοῦ Κύκκου ἀκούοντες. Καὶ Ἐθνικός τις, Σατράπης μέγας τῆς Νήσου, ἀκούων περὶ τῆς Ἁγίας Θεομητορικῆς Εἰκόνος πολλὰ μὲν καὶ ἄλλα καὶ ὅτι ἐνεργεῖ εἰς τὰς ἀνομβρίας, αὐχμοῦ τότε ἐν τῇ Νήσῳ ὄντος διὰ παιδείαν τῶν κατοικούντων, ἐκάλεσε τὸν Ἡγεμόνα καὶ μετ' ἀπειλῆς εἶπεν πρὸς αὐτόν· ἀκούω πῶς πλανᾷς τὸν Κόσμον, καλόγερε, μὲ ἕνα σουρέττι, ὁποῦ ἔχεις· ὅμως μετὰ ὀλίγας ἡμέρας ἤξευρε. ἀνίσως καὶ δὲν γίνῃ βροχή, θέλω καύσει εἰς τὴν κεφαλήν σου τὸ σουρέττι σου (ἐννοῶντας τὴν Ἁγίαν Εἰκόνα), καὶ ὕστερον νὰ σὲ θανατώσω. Ταῦτα ὁ Ἡγούμενος ἀκούσας, ἦλθεν ἔντρομος εἰς τὴν Μονὴν καὶ νηστεύων ἐλιτάνευε μετὰ τῆς Ἁγίας Εἰκόνος περιερχόμενος· ἦν δὲ ἐν Μυριανθούσῃ ὅτε ἤγγικεν ἡ διορία, καὶ λοιπὸν δεόμενος πίπτει κατὰ γῆς ἔμπροσθεν τῆς Ἱερᾶς Εἰκόνος χύνων ποταμηδὸν δάκρυα, ὥστε ὑγρανθῆναι τὸ ἔδαφος, καὶ εὐθὺς, ὢ τῆς ἐν τῇ Χαριτοβρύτῳ Εἰκόνι σου μεγάλης Χάριτος, Ὑπέραγνε Δέσποινα! νέφος μικρὸν ἐφάνη περὶ τὸ μέσον τοῦ Οὐρανοῦ καὶ σκότος πολὺ ὕστερον, ὥστε καὶ ἐκινδύνευσαν ἐκ τῆς μεγάλης βροχῆς. Τότε γοῦν θαυμάσας καὶ ὁ Σατράπης ἔδωκεν Ὁρισμὸν Βασιλικὸν εἰς τὸν Ἡγούμενον ἀνεμποδίστως νὰ περιέρχεται τὴν Νῆσον, λιτανεύων μετὰ τῆς Ἁγίας Εἰκόνος. Καὶ τάδε μὲν πάλαι ἐγένετο.

Τὸ δὲ νεωστὶ συμβὰν ἐν τῇ καταδρομῇ τοῦ Βασιλικοῦ Σατράπου (ὁ πεκὴρ Πασιᾶς ἐστιν οὗτος) καὶ ἐν ὥρᾳ θέρους, καθὼς οἱ πάντες γινώσκουσιν, ὡς τοῦ Ἡλίου τότε ὄντος ἐπὶ τὸν Λέοντα, πῶς οὐ θαυμάσαι μοι, ὁποῦ, ῥέει μοι τὸ δάκρυον γράφοντι; Ἔπεμπεν ἐκεῖνος ὁ ἐρασιχρήματος (ὁ ντελίμπασίς ἐστιν ὁ λεγόμενος) τὸν ὠμότερον τῶν ἑαυτοῦ ὑπηρετῶν ἐπὶ τὴν Μονὴν, ἀπειλῶν τὰ ὀλέθρια. Ἐγὼ δὲ τότε, καίτοι ἀσθενῶν, πλὴν προτροπῇ τοῦ Μακαριωτάτου Ἁγίου Κύπρου Κυρίου Φιλοθέου ἐπορεύθην τοῦ ζητεῖν τὸν τῆς Μονῆς Οἰκονόμον, ὅν περ εὑρὼν ἐδήλωσα πάντα τὰ αὐτῷ ἀγνούμενα καὶ κλαίοντες προεπέμψαμεν ἄνθρωπον, γράψαντες τοῖς ἐν τῇ Μονῇ οὖσιν, ἵνα πρὸς τοῖς ἄλλοις τὴν Ἁγίαν Εἰκόνα φυλάξωσι μά-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

λιστα εἴς τι τῶν σπηλαίων, ὁποῦ προείπομεν, προσέχοντες καλῶς εἰς πάντα μετὰ ἀκαταπαύστων δεήσεων. Ἐφέρετο οὖν ἐν σπηλαίῳ τινὶ ἡ Ἁγία Εἰκὼν λιτανευόντων τῶν Πατέρων μὲ δάκρυα· ἀλλ' ἅμα τῷ τεθῆναι ἐν τῷ σπηλαίῳ ἐγένοντο βρονταὶ καὶ ἀστραπαὶ φοβεραί, ὢ παραδόξου Θαύματος! ἐν τρισὶν ἡμέραις ἀκαταπαύστως, ὥστε καὶ τὴν Κύπρον ὅλην ἐτάραξαν καὶ βροχὴ ῥαγδαία γέγονε τοσοῦτον, ὅσον οὐδὲ ἐν χειμῶνι· ὅθεν ἐκ τούτου ἐταπεινώθησαν οἱ πρῴην ἄκαμπτοι καὶ σκληροὶ καὶ μεγάλως ἐδειλίασαν οἱ Ἐθνικοὶ ἅπαντες, χρήμασιν ὀλίγοις μόνον ζημιώσαντες καὶ τότε τὴν Μονήν. Δέον δὲ γράψαι καὶ τὸν ὕστερον πυρπολισμὸν τῆς Ἁγίας Μονῆς καὶ τὸν ἀνακαινισμὸν αὐτῆς καὶ οὕτω τέλος ποιῆσαι.

Κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν πεντηκοστὸν πρῶτον ἔτος ἀπὸ Θεογονίας, κατὰ τὸν μῆνα Νοέμβριον, ἐπυρπολήθη ἤδη τρίτον ἡ Ἱερὰ αὕτη Μονὴ ἐξ ὁλοκλήρου (οὐκ οἶδα ὅπως) ὁμοῦ μετὰ τῆς Ἐκκλησίας, προστατεύοντος τοῦ ἄνωθεν Οἰκονόμου Κὺρ Παρθενίου, φυλαχθείσης αὖθις τῆς Ἁγίας Εἰκόνος ὁμοῦ μετὰ τῶν λοιπῶν Εἰκόνων καὶ ὀλίγων Κειμηλιων. Κατὰ δὲ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν πεντηκοστὸν πέμπτον ἔτος ἀνῳκοδομήθη αὖθις διὰ προστασιῶν τῆς Θεομήτορος παρὰ τοῦ αὐτοῦ Οἰκονόμου, ὑπομείναντος τοῦ ἀοιδίμου θλίψεις καὶ στενοχωρίας καὶ κόπους οὐκ ὀλίγους· τοσοῦτον ἀγαπᾷ καὶ προστατεύει ἡ Ὑπέραγνος Δέσποινα τὴν Ἱερὰν ταύτην Μονὴν διατηροῦσα καὶ σκέπουσα αὐτὴν καὶ ἀεὶ φωτίζουσα ὑπὲρ αὐτῆς, ὡς καὶ σαφέστατα αὐτῇ τῇ Μονῇ ἡ ἰδία Θεοτόκος ἀπέδειξε· μετὰ γὰρ τὸν πυρπολισμὸν ἐρχόμενοι οἱ Πατέρες ἐκ τῆς Βασιλικῆς, τόπος οὕτω καλούμενος, εἰς τὴν Μονὴν ἑώρων μακρόθεν ἔνδον τῆς Ἐκκλησίας φῶτα φαίνοντα· πλησιάζοντες δὲ οὐδὲν ἐθεώρουν, τεκμήριον ἀληθῶς σαφὲς τῆς Θεοτόκου ἐπισκέψεως πρὸς τὴν Μονήν της, ὡς καὶ τὸ παρὸν Τροπάριον τοῦ δευτέρου Κανόνος, ὁποῦ ἐν τῷ τέλει τῆς Βίβλου κατεστρώθη, φανεροῖ εἰς τὴν πέμπτην Ὠδήν.

«Νέον ὤφθη καὶ τοῦτο, τῇ πυρποληθείσῃ σου Μονῇ Πανάμωμε, »φῶτα ἐν εὐσήμοις ἡμερῶν κατὰ νύκτα ἐξάπτοντα, καὶ Γυνὴ ὡραία »περιπολοῦσα τὸν Ναόν σου, λαμπροφόρος τ' ὀφθεῖσα οἷς ἤθελεν».

Καὶ ἄλλοτε πάλιν ἔβλεπον οἱ καθαροὶ τὸν βίον Πατέρες Γυναῖκα περιβεβλημένην τὸν Ἥλιον, πάνυ ὡραίαν καὶ ὑπέρλαμπρον,



Ο΄ [illegible] τοῦ Σαράπη πεμφθεὶς, καὶ μετ' αὐτοῦ πλῆθος στρατιωτῶν κατὰ τῆς Μονῆς, καὶ ὅτε ἐπλησίασαν, (ὢ τοῦ Θαύματος.) μέγας ὑετὸς γέγονε. ὥστε [illegible] πάντας.

περιερχομένην τὴν Μονὴν (ὡς βεβαιοῖ τὸ ἄνωθεν Τροπάριον)· ἀνῳκοδόμησε δὲ αὐτὴν ἐκ βάθρων ὁ ἀείμνηστος, πρῶτον μὲν τὴν Ἐκκλησίαν μετὰ θόλου τρίχορον, εἶτα το Ἡγουμενεῖον πάνυ ὡραῖον μετὰ θόλου, ὡς ὁρᾶται νῦν, μὲ τὴν σειρὰν τῶν ἄνω καὶ κάτω Κελλίων καὶ τὰ πρὸς Νότον Κελλία τετράχορα, πρὸς τούτοις τὸ τραπεζαρεῖον, μαγειρεῖον, μαγκειπίον, φοῦρνον καὶ κελλάρια, ὁμοῦ καὶ τὰ πρὸς Ἀνατολὴν ἀποβλέποντα Κελλία. Ὑπέμεινε δὲ ὁ ἀείδιμος περιστάσεις καὶ κινδύνους μεγάλους, ἐπεὶ, ἀπαρτίζωντας τὴν Ἐκκλησίαν, ἐξαίφνης ἐγκρεμνίσθη ὁ θόλος, πλακώνωντας ὑποκάτωθεν καὶ τοὺς οἰκοδόμους (οὐκ οἶδα δὲ εἴτε ἀπὸ ἀνεπιτειδιότητα τῶν κτιστῶν ἢ διὰ νὰ δείξῃ καὶ ἕτερον Θαῦμα ἡ Θεοτόκος)· ὅμως δὲ τῇ δυνάμει καὶ χάριτι τῆς Πανυμνήστου ἀβλαβεῖς ἐτηρήθησαν, ὡς καὶ τὸ Τρυπάριον φανερὰ τὸ κηρύττει, ὃν καὶ τοῦτο ἐκ τῆς ἕκτης Ὠδῆς τοῦ ἄνωθεν Κανόνος.

«Ξένον ὄντως ἐδείχθη, οἱ καταχωννύμενοι ὑπὸ τοῦ κτίσματος, »τῆς Μονῆς σου Κόρη, ἣν ἐξελέξω Εἰκόνος εἰς οἴκησιν τῆς Κυκ»κιωτίσσης, σῶοι ἐφάνησαν καὶ ζῶντες, τῇ σῇ χάριτι μόνη Παν»θαύμαστε».

Μετὰ δὲ τὸν θάνατον τοῦ ἀοιδίμου κὺρ Ἐφραὶμ, ὁ θαυμάσιος οὗτος ἀνὴρ ἀνήγειρεν αὖθις τὴν Ἐκκλησίαν οὕτω περικαλλῆ καὶ ὡραίαν, ὡς νῦν καθορᾶται, ὑπομείνας πολλὰς συμφορὰς καὶ ζημίας, ὁποῦ ἂν ἦτό τις ἐξ ἡμῶν, βεβαιότατα ἤθελε παραιτηθῇ τοῦ ἔργου καὶ σμικρύνῃ τὴν προθυμίαν του. Εἶναι δὲ ἄξια ἐνθυμήσεως καὶ θαυμασμοῦ τοῦ μακαρίτου τούτου ἀνδρὸς τὰ κατορθώματα· πρῶτον μὲν ἡ ἀγάπη, ἣν εἶχε πρὸς τὴν Θεοτόκον, ἡ ἔφεσις εἰς τὰ πνευματικὰ, ἡ γενναιότης καὶ μεγαλοψυχία, ἡ ἄκρα του ὑπομονὴ εἰς ἅπαντα τὰ τυχόντα. Μαρτύρομαι δὲ ὅτι οὐκ οἶδα ἕτερον ὡς αὐτὸν, ὥστε, ἐὰν ἦτο ἕτερός τις, ἐξάπαντος ἤθελε μετατρέψῃ τὸν σκοπόν του, μετὰ τὸν ἐγκρεμνισμὸν τῆς Ἐκκλησίας, ἐπεὶ οὐκ ὀλίγη ζημία ἠκολούθησεν, ὑπέρμετρος σχεδόν. Αὐτὸς δὲ ὁ ἀείμνηστος ἅπαντα τῇ Θεοτόκῳ ἀναθεὶς ἤρξατο αὖθις τοῦ ἔργου εἰς τὸ κτίζειν, ἐλπίζων εἰς τὸν Θεὸν καὶ τὴν Κυρίαν Θεοτόκον, ἣ καὶ συνδραμοῦσα ἐβοήθησεν αὐτῷ, διὰ μέσου τῶν φιλοχρίστων, φωτίζουσα τούτους ἐπαρκεῖν αὐτῷ, καὶ ἐτελείωσεν αὐτὸ τὸ θεάρεστον ἔργον καὶ ἀνήγειρε

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τὸν οὕτω περιφανῆ Ναὸν καὶ ἅπαντα τὰ περικαλλῆ κτίρια τὰ νῦν ἐν τῇ Ἁγίᾳ Μονῇ ὁρώμενα· ὅστις καὶ μετὰ τὴν οἰκοδομὴν Ἡγούμενος ἐχρημάτισε καὶ θεαρέστως ζήσας καὶ πολιτευσάμενος, πλήρης ἡμερῶν γενόμενος καὶ πολλοὺς πρὸς τὸν Θεὸν προσαγαγὼν διὰ τῶν ἐναρέτων ὑποδειγμάτων καὶ θεαρέστου πολιτείας αὐτοῦ, ἀναπαύσατο ἐν Κυρίῳ εἰς τὸ μετόχιον τοῦ ἁγίου Δομετίου, ἐνταφιασθεὶς εἰς τὴν Μονὴν τοῦ Ἀρχαγγέλου, κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν ἑβδομηκοστὸν ἕκτον ἔτος ἀπὸ Χριστοῦ κατὰ μῆνα Ἰανουάριον καὶ μεταβὰς ἀπὸ τῆς προσκαίρου ταύτης ζωῆς εἰς τὰς αἰωνίως Μονὰς τοῦ ἀπολαβεῖν παρὰ Θεοῦ διὰ τῆς ἀειπαρθένου Μαρίας τὴν ἀντιμισθίαν τῶν μόχθων καὶ ἀγώνων του, ὡς ὑπὲρ τῆς Μονῆς αὐτῆς λίαν μοχθήσας.

Καὶ ταῦτα μὲν ἱκανά· πάντα γὰρ γράψαι ἀδύνατον, ὑπέρμετρον ὄντα καὶ ἄπειρα καὶ μάλιστα, ἐν βίᾳ ὡς τοῦ καιροῦ οὕτω μὲ κατεπείγοντος, διὸ καὶ ὡς ἔτυχε γέγραπται, πότε μὲν Ἑλληνικῶς, πότε δὲ ἁπλοϊκῶς εἰ καὶ πάντα ἁπλωϊκῶς παρεκλήθημεν γράψαι, ἀλλ' ἴσως ὡς ἐγένετο οὕτως ἀρέσκεται καὶ ἡ Ὑπέραγνος Δέσποινα.

Ἔρρωσθε οἱ ἀναγινώσκοντες καὶ μέμνησθε τοῦ ταπεινοῦ Ἐφραίμ.

ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ



Νέον ὤφθη καὶ τοῦτο, τῇ πυρποληθείσῃ σου Μονῇ Πανάμωμε, φῶτα ἐνδιασίμοις ἡμερῶν κατὰ νύκτα ἐξάπτοντα, καὶ γυνὴ ὡραία περιπολοῦσα τὸν ναόν σου, λαμπροφόρος ἡ ὀφθεῖσα οἷς ἤθελεν.

# ΣΧΟΛΙΟΝ

ΔΕΝ εἶναι ἀμφίβολον οὔτε μὴν ἀπίστευτον εἰς ἄνθρωπον Χριστιανὸν Ὀρθόδοξον, ὅτι νὰ εὑρίσκεται ἡ χάρις τοῦ Παναγίου Πνεύματος εἰς τὰς ψυχὰς καὶ εἰς τὰ σώματα τῶν Ἁγίων, ἀμὴ ἀκόμη καὶ εἰς τοὺς τάφους αὐτῶν καὶ εἰς τὰς εἰκόνας αὐτῶν, καθὼς μαρτυρεῖ Ἰωάννης ὁ Δαμασκηνὸς εἰς τὸν πρῶτον περὶ τῶν Ἱερῶν Εἰκόνων Λόγον μὲ τὸν μέγαν Γρηγόριον, οὑτωσὶ γράφοντες· «οἱ γὰρ »Ἅγιοι καὶ ζῶντες πεπληρωμένοι ἦσαν Πνεύματος Ἁγίου καὶ τελευ»τησάντων αὐτῶν ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος ἀνεκφοιτήτως ἔνε»στι καὶ ταῖς ψυχαῖς καὶ τοῖς σώμασιν ἐν τοῖς τάφοις καὶ τοῖς χαρα»κτῆρσι καὶ ταῖς Ἁγίαις Εἰκόσιν αὐτῶν, οὐ κατ' οὐσίαν, ἀλλὰ χά»ριτι καὶ εὐεργεσίᾳ». Διὰ τοῦτο καὶ θαυματουργεῖ ὁ Θεὸς καὶ διὰ τῶν εἰκόνων τους καὶ διὰ τῶν τάφων τους καὶ διὰ τῶν σωμάτων τους· ὥστε κατὰ τὴν βεβαιότητα τῆς Ἐκκλησίας μας καὶ μαρτυρίαν τούτων τῶν μεγάλων δύο Θείων Πατέρων βεβαιότατα πρέπει νὰ πιστεύωμεν ἀδιστάκτως χωρίς τινα ὑποψίαν καὶ σύγχυσιν τοῦ νοός μας, ὅτι ἡ χάρις τοῦ Παναγίου Πνεύματος νὰ εὑρίσκεται εἰς τὰ σώματα, εἰς τοὺς τάφους καὶ εἰς τὰς εἰκόνας ὅλων τῶν Ἁγίων καὶ νὰ κάμνη ὁ Θεὸς διὰ μέσου αὐτῶν θαύματα ἄπειρα. Ἡ προσκύνησις, ὁποῦ γίνεται εἰς τὰς Εἰκόνας τῶν Ἁγίων ἀπὸ ὅλους ἡμᾶς τοὺς Ὀρθοδόξους, δὲν εἶναι λατρευτή, ἀμὴ εἶναι δουλικὴ καὶ τιμητική. Ἡ δὲ προσκύνησις, ὁποῦ γίνεται εἰς τὴν Θεοτόκον, εἶναι ὑπερδουλική· δὲν εἶναι οὔτε λατρευτική, καθὼς γίνεται εἰς τὸν Θεόν, οὔτε πάλιν εἶναι δουλική, καθὼς γίνεται εἰς τοὺς Ἁγίους, ἀμὴ εἶναι ὑπερδουλική· διότι ἡ Θεοτόκος συνέλαβεν ἐν γαστρὶ αὐτῆς καὶ ἐγέννησε τὸν Μονογενῆ Υἱὸν καὶ Λόγον τοῦ Προανάρχου Πατρὸς καὶ διὰ τοῦτο ὡς ἀνωτέρω πάντων τῶν Ποιημάτων καὶ πασης Κτίσεως καὶ Ἀγγελικῶν Δυνάμεων καὶ τιμιωτέρα πάντων τῶν Οὐρανίων Νόων ἡ προσκύνησις, ὁποῦ γίνεται πρὸς αὐτήν, λέγεται Ὑπερδουλική, διαφορετικὴ ἀπὸ ἐκείνην τὴν προσκύνησιν, ὁποῦ κάμνομεν εἰς ὅλους τοὺς Ἁγίους, τόσον εἰς τοὺς τάφους αὐτῶν, τόσον εἰς τὰ σώματα, ὅσον καὶ εἰς

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

τὰς εἰκόνας αὐτῶν. Καὶ λοιπὸν, καθὼς εἴπαμεν, ἀνίσως καὶ εἰς τὰς εἰκόνας, τὰ σώματα καὶ τοὺς τάφους τῶν Ἁγίων ὅλων εὑρίσκεται καὶ κατοικεῖ ἡ χάρις τοῦ Παναγίου Πνεύματος, κατὰ τὴν μαρτυρίαν τούτων τῶν δύο Φωστήρων, λέγω, τοῦ Δαμασκηνοῦ Ἰωάννου καὶ τοῦ Θεολόγου Γρηγορίου, πόσον μᾶλλον ἀκόμη πολλαπλασίαν καὶ πολὺ περισσότερον δὲν ἤθελε κατοικῇ καὶ εὑρίσκεται ὅλη ἡ τελειότης τῶν χαρισμάτων τοῦ Παναγίου Πνεύματος εἰς ὅλας τὰς Θεομητορικὰς εἰκόνας τῆς ἀειπαρθένου Μαρίας; Αὐτὴ, ὁποῦ ὀνομάζεται Μήτηρ τοῦ Υἱοῦ καὶ Λόγου τοῦ Θεοῦ, αὐτὴ, ὁποῦ λέγεται Θυγάτηρ τοῦ Βασιλέως τῶν ὅλων Θεοῦ, Νύμφη τοῦ Παναγίου Πνεύματος, αὐτὴ, ὁποῦ ἦτον ἐκλελεγμένη, προωρισμένη πρὸ καταβολῆς κόσμου διὰ αὐτὸ τὸ Μυστήριον, δηλαδὴ νὰ γεννήσῃ τὸν Υἱὸν καὶ Λόγον τοῦ Προανάρχου Πατρὸς, αὐτὴ, ὁποῦ ὠνομάσθη ἀπὸ τὸν Ἄναρχον Θεὸν, πρὸ τοσούτους αἰῶνας πρότερον, Περιστερὰ Καθαρωτάτη, Ἄμωμος, Ἐκλεκτὴ, Πλησίον, καθὼς εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων φαίνεται· «ὅλη ἡ Καλὴ ἡ Πλησίον μου, ὅλη ἡ Καλὴ καὶ μῶμος »οὐκ ἔστιν ἐν σοί· περιστερά μου, νύμφη μου, ἐκλεκτή μου, ἠγάπησά »σε ὑπὲρ πάντας τὰς νεάνιδας» καὶ ἄλλα μυρία πολλὰ, ὁποῦ, ἐὰν ἤθελε τινὰς νὰ τὰ ἀπαριθμήσῃ ὅλα ἓν πρὸς ἕν, καιρὸς δὲν ἐξαρκεῖ. Πνεῦμα Ἅγιον ἐπῆλθεν εἰς αὐτὴν, ὅταν παρὰ τοῦ Ἀρχαγγέλου εὐηγγελίσθη τὸν Εὐαγγελισμόν. Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Προανάρχου Πατρὸς ἔλαβε σάρκα ἀπὸ τὰ πανάχραντα αὐτῆς αἵματα, ἐννεαμηνιαῖος προεξῆλθεν ἀπὸ τὴν Κοιλίαν της κατὰ τὸ ἀνθρώπινον, Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος, Θεάνθρωπος ὁμοῦ ὁ αὐτὸς Ἰησοῦς Σωτὴρ ὀνομαζόμενος.

Πῶς λοιπὸν ἡ αὐτὴ ὀνομασθεῖσα Κεχαριτωμένη καὶ ἐν γυναιξὶν ἁπάσαις Εὐλογημένη νὰ μὴ κατοικῇ εἰς τὰς Εἰκόνας της καὶ νὰ μὴ εὑρίσκεται εἰς αὐτὰς ἡ Χάρις τοῦ Παναγίου Πνεύματος; Πῶς εἰς τοὺς δούλους τοῦ Υἱοῦ της, καθὼς εἴπαμεν πρότερον εἰς τὰς εἰκόνας ἐκείνων, τάφους καὶ σώματα νὰ κατοικῇ ἡ χάρις τοῦ Παναγίου Πνεύματος καὶ νὰ κάμνῃ ὁ Θεὸς δι' αὐτῶν τῶν Ἁγίων ἄπειρα θαύματα καὶ εἰς τὴν Θεοτόκον, ὅπου κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς, εἰς τὰς εἰκόνας μιᾶς τοιαύτης Μητρὸς τοῦ Θεοῦ τῶν ὅλων, μορφώματα καὶ ἐκτυπώματα, νὰ μὴ εὑρίσκωνται



ὅλα τὰ Χαρίσματα τοῦ Παναγίου Πνεύματος, πολὺ περισσότερον διαφορετικὰ ἀπὸ ὅλα τὰ σώματα, τάφους καὶ εἰκόνας ὅλων τῶν Ἁγίων; Βεβαιότατα· καὶ ποῖος ἔξηχος καὶ τελείως τοῦ νοῦ ὑστερημένος ἤθελε τὸ κρίνῃ; Καὶ λοιπὸν, ἐὰν ἁπλῶς μόνον εἰς κάθε εἰκόνα τῆς Θεοτόκου, ὁποῦ ἤθελεν ἱστορήσῃ κάθε τυχὸν Ζωγράφος, εὑρίσκεται ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος, καθὼς καὶ εἰς ὅλων τῶν λοιπῶν Ἁγίων τὰς εἰκόνας εὑρίσκεται ἡ χάρις τοῦ Παναγίου Πνεύματος, πολλῷ μᾶλλον εἰς ἐκείνην, τὴν ὁποίαν ὄχι μόνον πῶς τὴν ἱστόρησεν ὁ Ἀπόστολος Λουκᾶς, ἕνας τοιοῦτος μαθητὴς τοῦ Διδασκάλου Χριστοῦ, ἀλλὰ καὶ ἡ Θεοτόκος ἡ ἰδία τὴν αὐτὴν εἰκόνα ἐπερίλαβεν εἰς τὰς Παναχράντους Χεῖράς της καὶ τὴν ἐκράτησεν ὥραν ἱκανὴν καὶ τὴν ἐθεώρησε πρεπόντως καὶ ἁρμοδίως καὶ ἐκτείνασα τοὺς Θεοφεγγεῖς Ὀφθαλμούς της πρὸς αὐτὴν ἐκφώνησεν ἐκεῖνα τὰ χαριτωμένα λόγια, τὸ, ἡ *Χάρις τοῦ ἐξ ἐμοῦ Τεχθέντος νὰ εἶναι μετ' αὐτῆς*. Δὲν ἀμφιβάλλῃ τινὰς εἰς τοῦτο, λέγουσιν οἱ δοκησίσοφοι τοῦ κόσμου τούτου, οἱ ἠπατημένοι καὶ μωροὶ, κατὰ τὸν Ἀπόστολον, εἰς τὴν Σοφίαν τοῦ κόσμου τοῦ αἰῶνος τούτου· δὲν εἶναι ἀμφιβολία, λέγουσιν οἱ λεγόμενοι Ὀρθόδοξοι, ὅτι νὰ εὑρίσκεται ἡ Χάρις τοῦ Παναγίου Πνεύματος εἰς ὅλας τὰς εἰκόνας τῶν Ἁγίων, πολλῷ εἰς τὴν τῆς Θεοτόκου· λοιπὸν ποία εἶναι ἡ ἀπορία σου, ὁποῦ ἀπορεῖς, σοφώτατε φίλε του αἰῶνος τούτου; ποῖον τὸ ἐρώτημά σου, ὁποῦ ἀμφιβάλλεις καὶ μὲ δισταγμὸν πολὺν συλλογισμοὺς φέρεις εἰς τὸν ἑαυτόν σου; εἰπέ. Ἡ ἀμφιβολία μου εἶναι, λέγει, διὰ τὸ πρόσωπον τῆς Ἁγίας Εἰκόνος, ὁποῦ δὲν τὴν θεωρεῖ καθ' ἕνας· τοῦτο μὲ ταράττει καὶ μὲ συγχύζει καὶ ἀμφιβάλλω, διστάζω καὶ ἀπιστῶ. Βαβαὶ τῆς ἀθλιότητος καὶ ἀπιστίας! φεῦ τῆς ἀδιακρίτου διαθέσεως! τῆς μωρᾶς καὶ ἀστάτου ἀποφάσεως! ἄκουσον ἄνθρωπε, καὶ μὴ γένου ἐρευνητὴς Μυστηρίων τοῦ Θεοῦ, τοῦ ὁποίου ἡ ἄπειρος Σοφία καὶ ἡ Πρόνοια ἡ Θεϊκὴ κατὰ καιροὺς οἰκονομεῖ τὰ πάντα διὰ τῶν πολλῶν σωτηρίαν καὶ ὠφέλειαν. Ἐδίωκεν ὁ Παῦλος ἕνα καιρὸν κατὰ ζῆλον τῆς Ἰουδοϊκῆς θρησκείας τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ καὶ ἦτον διωρισμένος νὰ ὑπάγῃ εἰς τὴν Δαμασκὸν νὰ παιδεύσῃ ὅσους εὕρῃ Χριστιανοὺς, τὸν ὁποῖον ἐδιώρισαν οἱ Ἀρχιερεῖς τῆς Ἱερουσαλήμ· εἰς τὸν δρόμον ὅμως πηγαινάμενος ἀκούει

οὐρανόθεν μίαν φωνὴν καὶ γίνεται ἔντρομος καὶ λέγει ἡ φωνὴ πρὸς αὐτόν· Σαούλ, Σαούλ, τί μὲ διώκεις; Ἀποκρίνεται ὁ Παῦλος μὲ φόβον καὶ τρόμον λέγωντας· καὶ ποῖος εἶσαι ἐσύ, ὁποῦ ἐγω σε διώκω, ποῖος εἶσαι, εἰπέ μοι, τίς, εἶ Κύριε; Λέγει ἡ φωνὴ πρὸς αὐτόν· ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. Ἀκούσατε λοιπὸν σεῖς οἱ ἐρευνηταὶ καὶ περίεργοι· ἡ φωνὴ ἐκείνη, ὁποῦ ἐλάλησε πρὸς τὸν Παῦλον, ἦτο φωνὴ Θεία, ὁποῦ θέλει νὰ εἰπῇ πῶς ἦτον ὁ Θεὸς ὁ ἴδιος. Λοιπὸν διατὶ ἐλαλήθη ἐκείνη ἡ φωνὴ εἰς τὰ ὦτα τοῦ Παύλου; βέβαια διὰ νὰ φοβηθῇ ὁ Παῦλος καὶ νὰ ἀπέχῃ ἀπὸ τὸν στοχασμὸν ἐκεῖνον, ὁποῦ εἶχεν εἰς τὸν νοῦν του, εἰς τὸ νὰ καταδιώκῃ τοὺς Χριστιανούς. Καὶ λοιπὸν δὲν ἦτο καλλιώτερον νὰ ἔλεγεν ἐκείνη ἡ φωνὴ πρὸς τὸν Παῦλον, ἀντὶς νὰ εἰπῇ ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις, νὰ ἔλεγεν ἐγώ εἰμι ὁ Θεός, ὃν σὺ διώκεις; βέβαια, μοῦ φαίνεται πῶς τοῦτο ἤθελε δώσῃ πρὸς τὸν Παῦλον περισσότερον φόβον καὶ τρόμον· διότι ἄλλο εἶναι τὸ ἐγώ εἰμι Θεός, καὶ ἄλλο τὸ ἐγώ εἰμι Ἰησοῦς. Διατὶ λοιπὸν δὲν εἶπε τέτοιας λογῆς ἡ φωνή; διότι τοῦτο εἶναι Πρόνοια Θεοῦ, ὦ ἄνθρωπε. Πρόνοια Θεοῦ εἶναι τοῦτο καὶ ἐγίνη οἰκονομικῶς διὰ νὰ μη χάσῃ τὸν Παῦλον ὁ Θεός. Νὰ τὸν χάσῃ ὁ Θεός; καὶ πῶς ἤθελε να τὸ χάσῃ; πῶς; ἄκουσον. Ἐὰν ἤθελεν εἰπῇ ἡ φωνὴ πρὸς τὸν Παῦλον, ὅτι ἐγώ εἰμι ὁ Θεος, ὅν σὺ διώκεις, ἤθελε στοχασθῇ ὁ Παῦλος νὰ εἰπῇ ὅτι ἐγὼ Θεὸν δὲν διώκω, ἀμὴ διώκω Ἰησοῦν Ναζωραῖον καὶ οὕτως ἤθελε πάλιν ἀκολουθῇ τὸν δρόμον του καὶ νὰ μὴ αἰσθανθῇ παντελῶς τὸ πταῖσμά του. Διὰ τοῦτο, ὡς ἤκουσεν, ὅτι ἐγὼ εἰμι Ἰησοῦς, ὅν σὺ διώκεις, εὐθὺς ἦλθεν εἰς τὸν ἑαυτόν του ὁ Παῦλος καὶ ἔκραξε λέγωντας· Κύριε, τί με θέλεις ποιῆσαι; καὶ κατηχηθεὶς ἀπὸ τὴν θείαν ἐκείνην φωνὴν τὸ τί νὰ κάμῃ ἐγνώρισε τὸ μεγάλον πταίσιμον, ὁποῦ ἔκαμε, καὶ πηγαινάμενος εἰς τὴν Δαμασκὸν καὶ βαπτισθεὶς ἀπὸ τὸν Ἀπόστολον Ἀνανίαν ἐκήρυττε τὸν Χριστὸν παρρησίᾳ Θεὸν ἀληθινὸν εἰς ὅλας τὰς Συναγωγὰς τῶν Ἰουδαίων καὶ τέτοιας λογῆς ἔγινε Σκεῦος Ἐκλογῆς. Ἐγνώρισας τώρα Πρόνοιαν καὶ κηδεμονίαν Θεοῦ, ἄνθρωπε; ἐκατάλαβες Οἰκονομίαν Θεοῦ, πῶς πάντοτε προνοεῖ ὁ Θεὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων, διὰ νὰ μὴ ἀπολεσθῶσι; κατὰ καιροὺς οἰκονομεῖ ὁ Θεὸς καὶ προνοεῖ ὅλον τὸ πᾶν καθὼς γνωρίζει καὶ ἠξεύρει ἡ Πρόνοιά του διὰ τὴν σω-



τηρίαν τοῦ καθ' ἑνὸς ἀνθρώπου, μὲ διαφόρους τρόπους, ὁποῦ γνωρίζει ἡ πάνσοφός του Πρόνοια καὶ κηδεμονία.

Ἱστόρησεν ὁ Ἀπόστολος Λουκᾶς λοιπὸν τὰς τρεῖς Εἰκόνας τῆς Θεοτόκου καὶ τὴν μὲν πρώτην χωρὶς τὸν Μονογενῆ εἰς τὰς ἀγκάλας της, ἥτις καὶ Ἐλεοῦσα ὀνομάζεται, πρὸς τὸν ὁποῖον Ἀπόστολον Λουκᾶν προσεκόμισεν ὁ Ἀρχάγγελος Γαβριὴλ τὰς σανίδας, καθὼς γράφει ὁ Συγγραφεύς, ἀνὴρ πράξει καὶ θεωρίᾳ ἀρετῇ τε κεκοσμημένος, Συμεὼν τοὔνομα· τὴν ὁποίαν ἀφ' οὗ τὴν ἐπρόσφερεν ὁ Ἀπόστολος μετέπειτα, ὅταν τὴν ἱστόρησεν, εἰς τὴν Θεοτόκον, ὠνειδίσθη ὑπ' αὐτῆς, ὡσὰν ὁποῦ τὴν ἱστόρησε δίχως τὸν Μονογενῆ εἰς τὰς ἀγκάλας της. Λαβὼν οὖν θάρρος ὁ Εὐαγγελιστὴς εἰς τοῦτο, ὅτι ἐφάνη τάχα ἀρεστὸν εἰς τὴν Μητροπάρθενον νὰ ἱστορηθῇ ὁ χαρακτὴρ τοῦ Προσώπου αὐτῆς, πλὴν τὸν ἤλεγξε, διατὶ δὲν ἱστόρησε νὰ κρατῇ καὶ τὸν Μονογενῆ αὐτῆς Υἱὸν εἰς τὰς ἀγκάλας της, ἀναχωρήσας μὲ χαρὰν πολλὴν καὶ πόθον ἄπλετον ἱστόρησε καὶ δευτέραν Εἰκόνα, ἔχουσα τὸν Μονογενῆ εἰς τὰ ἀριστερά, καὶ προσφέρων πάλιν καὶ αὐτὴν εἰς τὴν Θεοτόκον, ἡ ὁποία ὀνομάζεται Ὁδηγήτρια, τὸν ἤλεγξε καὶ τότε ἡ Θεοτόκος λέγουσα, ὅτι ἐγὼ ἐγέννησα τὸν Υἱὸν καὶ Λόγον τοῦ Προανάρχου Πατρὸς ἄνευ σπορᾶς ἀνδρὸς καὶ μείνασα Παρθένος ἔτεκον αὐτόν, πῶς λοιπὸν εἶναι πρέπον νὰ τὸν κρατῶ ὡς Βρέφος εἰς τὰς χεῖράς μου ἀπὸ τὸ ἀριστερόν; Δυσαρεστηθεῖσα καὶ εἰς τοῦτο ἡ Πάναγνος Δέσποινα ἀπέβαλε τὸν αὐτὸν Ἀπόστολον ἀπέμπροσθέν της· καὶ οὕτω ἀναχωρήσας ὁ Λουκᾶς ἀπὸ τὴν Θεοτόκον μὲ μεγάλην σπουδὴν καὶ ἐπιμέλειαν ἱστόρησε ταύτην τὴν τρίτην, τὴν ἔχουσαν τὸν Μονογενῆ εἰς τὰ δεξιά, ἥτις καὶ Ἐλεοῦσα ὀνομάζεται· καὶ προσφέρων ταύτην μετὰ χαρᾶς εἰς τὴν Θεοτόκον καὶ ἰδοῦσα καὶ ἀνὰ χεῖρας λαβοῦσα ἡ Πάναγνος Δέσποινα, ζητήσασα δὲ καὶ τὰς ἄλλας δύο καὶ στήσασα κατέναντι ἄντικρυς αὐτῆς τὰς δύο ἐκείνας καὶ τὴν τρίτην ἔχουσα εἰς τὰς Χεῖρας αὐτῆς καὶ ταύτας ἀκριβῶς θεωρήσασα καὶ ἐκφωνήσασα εἶπε τό, ἡ *Χάρις τοῦ ἐξ ἐμοῦ τεχθέντος νὰ εἶναι μὲ αὐτάς*· ὥστε ὁποῦ ταύτην τὴν τρίτην ἔλαβεν εἰς τὰς Παναχράντους Χεῖράς της ἡ Θεοτόκος καὶ ἰδοῦσα καὶ θεωρήσασα καὶ τοὺς Θεολαμπεῖς Ὀφθαλμοὺς αὐτῆς πρὸς αὐτὴν ἀνατείνασα καὶ Μητρικὴν Χάριν ζητήσασα παρὰ τοῦ Μονογενοῦς

αὐτῆς Υἱοῦ καὶ χαριτώσασα ταύτας μὲ τὰ λόγια, ἅπερ εἶπεν, ἀπέδωκεν αὐτὰς τῷ Ἀποστόλῳ καὶ Εὐαγγελιστῇ Λουκᾷ. Τώρα λοιπὸν τί πλέον ἔμεινε; ἔμεινε κἀμμία ἀμφιβολία;

Καλά, λέγει ὁ Φιλόσοφος τοῦ αἰῶνος τούτου, καλά, αὐτὴ ἡ Ἁγία Εἰκών, ὅταν ἐπῆγεν εἰς Αἴγυπτον, εἰς Ἀττάλειαν, μάλιστα ὅταν ᾐχμαλωτίσθη ὁ Στόλος ὁ Βασιλικός, ἦτο καὶ αὐτὴ ἡ Ἁγία Εἰκὼν εἰς τὸ πλεύσιμον τοῦ στόλου ἐκείνου καὶ δὲν ἦτον τότε τὸ Πανάγιον Πρόσωπον τῆς Ἁγίας Εἰκόνος ἀσκεπές; ἀναμφιβόλως οὕτως ἔχει· καὶ πάλιν ὅταν εἰς τὸ Βασιλικὸν Παλάτιον τόσους χρόνους, ὁποῦ εὑρίσκετο, δὲν ἦτο ἀσκεπές; βεβαιότατα· ὀρθῶς ἔφης· καὶ λοιπὸν διὰ τί τώρα δὲν θέλει νὰ δείξῃ τὴν Θέαν της, ὡς καὶ πρότερον εἰς ὅλους; Τοῦτο εἶναι Πρόνοια Θεοῦ, ἄνθρωπε, καὶ κηδεμονία· τούτη εἶναι Οἰκονομία Θεοῦ, διὰ κάποια τέλη, ὁποῦ Θεὸς προνοεῖ καὶ ἡμεῖς δὲν γνωρίζομεν· καὶ ὄχι μόνον ὅταν ἦτον εἰς τὸ Βασιλικὸν Παλάτιον ἦτον ἀσκεπὴς αὐτὴ ἡ Ἁγία Εἰκὼν ἀλλ' ἀκόμη καὶ ὅταν εἰς τοὺς χιλίους πεντακοσίους ἑβδομήκοντα ἑπτά, μετὰ τὴν τῶν Ὀθωμανῶν κυριαρχίαν, ἓξ χρόνους ὕστερον ἐκοσμήθη καὶ ὁ κοσμήσας αὐτὴν βέβαια ἐθεώρει καὶ τὴν Θέαν τῆς Θεοτόκου καὶ τοῦ Χριστοῦ ὁμοίως τὸ Ἅγιον Πρόσωπον· πλὴν τανῦν εἶναι ἀθέατος τοῖς πᾶσιν, ὡσὰν ὁποῦ ὅσοι ἐδοκίμασαν να ἀνακαλύψωσι τὴν σκέπην, ἐν ᾗ κεκαλυμμένην ἔχουσι τὴν Ἁγίαν Εἰκόνα, βαρέως ἐπαιδεύθησαν ἀπὸ τὴν Ὑπέραγνον Μητέρα τοῦ Θεοῦ, καθὼς εἶναι προγεγραμμένον εἰς τὴν Περιγραφήν, μὲ ὅλον ὁποῦ ἐκεῖνοι, ὁποῦ ἔκαμαν τὴν δοκιμήν, ἦτον ἄνδρες ἐνάρετοι καὶ τοῦ Θεοῦ ἄνθρωποι· καὶ τοῦτο Πρόνοια Θεοῦ, ἄνθρωπε, καὶ κηδεμονία πρὸς ἡμᾶς, εἰς τοὺς ἐσχάτους καιροὺς τούτους καὶ ἀθλίους, ἐπειδὴ καὶ ἡ ἀγάπη ἀπὸ ἡμᾶς ἐψυγήθη, κατὰ τὸν Ἀπόστολον· τὸ κακὸν αὔξησεν, ἡ ἁμαρτία ἐβασίλευσεν, τὰ θεῖα ἐκαταφρονήθησαν, ἡ εὐλάβεια ἀπὸ ἡμᾶς ἀποσοβίσθη, τὰ θαύματα κατηγοροῦνται, τὰ Μυστήρια ἐμπαίζονται, τὰ πάντα ἐν ἀμελείᾳ, καὶ τὰ τοῦ Κόσμου ὅλα κοσμοῦνται, διὰ τοῦτο καὶ ὁ Θεὸς προνοῶντας ᾠκονόμησε τοιούτῳ τρόπῳ διὰ νὰ μὴ καταφρονηθῇ ἀπὸ πολλοὺς ἀνευλαβεῖς ἡ Ἁγία Εἰκὼν τῆς Μητρός του, καὶ οὕτως ἤθελε κάμῃ τὴν ἐκδίκησιν καὶ παιδεύσῃ τοὺς τολμηροὺς ἐκείνους νὰ ἀπολεσθῶσιν.



Θαύματα τῆς Θεοτόκου, καὶ οἱ Πατέρες Λιτανεύοντες ἐν καιρῷ αὐχμοῦ.
1. Ὁ Σταυρὸς κατασκιασμένος, ἐν ᾧ τίθεται ἡ Ἁγία Εἰκών. ὅταν ἡ Λιτανεία γίνεται.

Εἰς τοὺς ἀρχαίους καιρούς, καθὼς μᾶς φανερώνουσιν αἱ Ἐκκλησιαστικαὶ Ἱστορίαι, ὅταν τὸ κήρυγμα τοῦ Εὐαγγελίου ἁπλώνετο εἰς ὅλον τὸν Κόσμον, ἦτον οἱ τότε πιστεύσαντες μὲ μίαν ἔνθερμον ἀγάπην πρὸς τὸν Χριστὸν καὶ μὲ ἕνα διακαῆ ζῆλον, πρόθυμοι ὅλοι εἰς τοὺς ἀγῶνας, χαρούμενοι ἔτρεχον εἰς τὰ κολαστήρια καὶ τὰ βασανιστήρια, ὁποῦ τοὺς ἔκαμαν οἱ τύραννοι βασιλεῖς, διὰ νὰ ἀρνηθῶσι τὸν Χριστὸν καὶ νὰ θυσιάσωσιν εἰς τὰ εἴδωλα, ὁποῦ ἐπροσκυνοῦσαν ἐκεῖνοι· τινὰς δὲν ἦτον τότε προδότης τῆς Εὐσεβοῦς Πίστεως, οὐδένας ἀρνητὴς τοῦ Χριστοῦ· ὅλοι πρόθυμοι, ὅλοι ἔνθερμοι, ὅλοι σύμφωνοι, μὲ μίαν γνώμην καὶ ψυχὴν καὶ καρδίαν ἔτρεχον εἰς τὸν ἀγῶνα τοῦ Μαρτυρίου, συνερίζουνταν εἰς ὑπὲρ τοῦ ἄλλου ποῖος ἀπὸ αὐτοὺς νὰ προλάβῃ, νὰ τρέξῃ ἐμπρός, νὰ δοκιμάσῃ περισσότερα κολαστήρια καὶ βασανιστήρια. Ὁ Οὐρανὸς ἐγέμισεν ἀπὸ Ψυχὰς Μαρτύρων, καὶ βλέπωντας ὁ Θεὸς τὴν προθυμίαν καὶ διακαῆ ἔρωτα αὐτῶν δὲν ἐμπόδιζε τὴν ὠμότητα τῶν τυράννων, ἀμὴ τοὺς ἄφηνε νὰ κάμνωσιν ἄπειρα κολαστήρια καὶ δεινὰ κακὰ εἰς τοὺς Χριστιανοὺς διὰ νὰ φανερωθῇ ἡ ἀνδρεία καὶ μεγαλοψυχία τῶν ἀληθινῶν Στρατιωτῶν καὶ πιστῶν του δούλων, καθὼς ἀναγινώσκομεν καθ' ἑκάστην εἰς τὰ Μηνολόγια καὶ εἰς τὸν Συναξαριστήν. Ὕστερον ὅμως, ἀφ' οὗ ἐψυχράνθη ἡ ἀγάπη τῆς Πίστεως ἀπὸ πολλούς, σχεδὸν καὶ ἀπὸ ὅλους, κατὰ τὸν Ἱεροψάλτην Δαβίδ, ὁποῦ λέγει, «πάντες ἐξέκλιναν, ἅμα ἠχρειώ»θησαν, οὐκ ἔστιν ἕως ἑνός», τότε ᾠκονόμησεν ὁ Προνοητὴς Θεὸς καὶ ἔπαυσεν ὁ διωγμὸς οὗτος ἀπὸ τοὺς τυράννους τῶν εἰδωλολατρῶν, ὁποῦ ἔκαμναν κατὰ τῶν Χριστιανῶν· καὶ διατί; διότι προθυμία ἀγάπης δὲν ἦτον· τὰ πνευματικὰ ὅλα ἀπεσοβίσθησαν, οἱ ἄνθρωποι ἔγιναν σάρκες· οὐδεὶς ὁ συνιὼν τὸ καλόν, διά τοῦτο ἔπαυσεν ὁ διωγμὸς καὶ τὰ Στέφανα τῶν Μαρτύρων ἐμποδίσθησαν, καὶ ταῦτα ὅλα εἶναι Πρόνοια Θεοῦ, καὶ φιλανθρωποτάτη Οἰκονομία, διότι, ἐὰν δὲν ἤθελε παύσῃ ὁ διωγμός, κατὰ τὴν ψυχρότητα τῶν ἀνθρώπων, ὁποῦ εἶχον εἰς τὴν Εὐσέβειαν, καὶ κατὰ τὴν δειλίαν καὶ μικροψυχίαν, ὁποῦ ἔδειχναν οἱ μεταγετέστεροι εἰς τὰ Μαρτύρια, ἀνάγκη ἦτον τότε ὄχι ὁ Οὐρανὸς νὰ ὑποδεχθῇ Μάρτυρας νὰ στεφανώσῃ, ἀλλ' ὁ ᾅδης νὰ γεμώσῃ ἀπὸ ψυχὰς Χριστιανῶν. Εἶδες τώρα Πρόνοιαν Θεοῦ; Τέτοιας λογῆς ᾠκονόμησε καὶ τώρα ὁ Θεὸς εἰς τὴν Ἄχραντον Εἰ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

κόνα τῆς Θεοτόκου διὰ νὰ μὴ φαίνεται τὸ Τίμιόν της Πρόσωπον· ἕνα μὲν διὰ νὰ ἐξέχῃ καὶ νὰ εἶναι διαφορετικὴ ἀπὸ τὰς ἱστορηθείσας ἄλλας εἰκόνας τῶν ἐπιλοίπων Ζωγράφων, ὁποῦ σχεδὸν κάθε Ζωγράφος ἱστορεῖ ἁπλῶς, ἄλλο δὲ, διὰ νὰ σῴζεται ἡ Εὐλάβεια πάντων τῶν Χριστιανῶν ἀείποτε καὶ παντοτινὰ πρὸς αὐτὴν τὴν Ἁγίαν Εἰκόνα καὶ νὰ μὴ πλησιάζῃ ὁ τυχὼν ἁπλῶς καὶ νὰ ἀσπάζεται ταύτην καθὼς τύχῃ καὶ ὁπότε θέλῃ, λερωμένος, μεθυσμένος καὶ φαγωμένος καὶ ποτισμένος οἵαν ὥραν θέλῃ, χωρὶς διάκρισιν καὶ δοκιμὴν τῆς συνειδήσεώς του, ὡς τάχα Εὐλαβείας ζῆλον δεικνύοντες, ἀλλ' οὐ κατ' ἐπίγνωσιν ὁ ζῆλος αὐτῶν, κατὰ τὸν Ἀπόστολον.

Διὰ ταῦτα λοιπὸν τὰ αἴτια καὶ τὰ ἄλλα παρόμοια εἶναι, ὁποῦ δὲν θέλει ἡ Θεοτόκος νὰ βλέπῃ ὁ τυχὼν τὸ ἐκτύπωμα τοῦ Προσώπου της εἰς τὴν Ἁγίαν Εἰκόνα, διότι, ἐὰν εἰς τοιαύτην Κεχαριτωμένην παρὰ Θεοῦ Εἰκόνα ὁ καθ' εἷς ἤθελε πλησιάσῃ ἁπλῶς μόνον ὡς τύχῃ χωρὶς σκέψιν κάθε καιρὸν καὶ ὥραν, ὁπότε βούλονται οἱ ἄνθρωποι, τί ἀκολουθεῖ νὰ γίνῃ; βέβαια ἤθελον καὶ πρὸς αὐτὴν τὴν Ἁγίαν Εἰκόνα νὰ ἔχωσι τοιοῦτον σέβας οἱ ἄνθρωποι, οἷον ἔχουσι καὶ εἰς τὰς ἄλλας ἁπλῶς Ἁγίας Εἰκόνας καὶ οὕτως ἤθελαν παύσῃ τὰ θαύματα πλέον, νὰ μὴ κάμνῃ θαύματα ποσῶς ἡ Ἁγία Εἰκών· διότι τὰ θεῖα, λέγει ὁ Θεῖος Διονύσιος ὁ Ἀρεοπαγίτης, ὅταν Θειωδῶς, ἤγουν κατὰ τὴν ἀρέσκειαν τοῦ Θεοῦ, δὲν τιμῶνται, οὐδεμίαν ἐνέργειαν Θείαν ἀποτελοῦσι Θαυμάτων, καὶ οὕτως ἤθελαν ἐμποδισθῇ μυρία καλὰ, ὁποῦ τώρα καθ' ἑκάστην γίνονται, ἄπειρα καὶ ἀναρίθμητα, εἰς λωλοὺς, κυλλοὺς καὶ εἰς διαφόρους ἀνιάτους ἀσθενείας καὶ πάθη ἀνίατα, τόσον, ὥστε ἀδυνατεῖ ἡ γλῶσσα τοῦ ἀνθρώπου νὰ διηγηθῇ. Ἔπειτα, ὅταν οἱ ἄνθρωποι συνηθίσωσι μὲ τὴν συχνὴν θεωρίαν, πολλαῖς φοραῖς κάμνοντες ἕνα πρᾶγμα, ὁποῖον καὶ ἂν εἶναι ἐκεῖνο, τότε ἡ συνήθεια τοὺς κάμνει νὰ καταφρονῶσιν ἐκεῖνο τὸ ἔργον, καθὼς μὲ τὴν δοκιμὴν τὸ βλέπομεν καθ' ἑκάστην. Καὶ λοιπὸν, ὅταν οἱ ἄνθρωποι συχνάκις, καθὼς εἴπαμεν, ἤθελαν πλησιάσῃ εἰς ταύτην τὴν Ἁγίαν Εἰκόνα, μὲ τὴν πολυκαιρίαν καὶ ἐκ συνηθείας νὰ θεωρῶσι καὶ νὰ ἀσπάζωνται καθὼς τύχῃ, ἔξω ἀπὸ ἐκεῖνο, ὁποῦ ἤθελαν παύσῃ τὰ θαύματα, καὶ νὰ ὑστερηθῶσιν ἀπὸ τὰ τόσα καλὰ, ἤθελεν εἶσθε καὶ τοῦτο. Τὸ ποῖον; ἤθελε κινηθῇ ὁ



Θεὸς εἰς ὀργὴν καὶ ἀγανάκτησιν νὰ κάμῃ τὴν ἐκδίκησιν εἰς ἐκείνους τοὺς τολμητὰς καὶ ἀδιακρίτους, νὰ στείλῃ παιδείαν πρὸς αὐτοὺς, καὶ οὕτως ἤθελε γίνῃ βλάβη οὐκ ὀλίγη καὶ ὠφέλεια οὐδὲ μία, καθὼς ἕνα καιρὸν ἐπῆγαν οἱ Πατέρες καὶ εὗρον ἄνδρα τινὰ ἔξω τοῦ Ναοῦ θηλυμανοῦντα μετὰ γυναικὸς καὶ εὗρον καὶ τοὺς δύο καταξήρους καὶ οὐκ ἐδυνήθησαν εἰς τὸ νὰ τοὺς ἀποχωρήσωσι, καὶ ἔμειναν οὕτω μεμιγμένοι καὶ ἐτάφησαν. Ὁμοίως πάλιν ἄνδρα τινὰ Σοδομίτην μὲ παῖδά τινα, ὁποῦ κάμνοντες τὴν ἁμαρτίαν ἔμειναν οὕτω μεμιγμένοι καὶ οἱ δύο, καὶ ἄλλα πολλὰ μυρία τοιαῦτα. Φθάνει μόνον τοῦτο πρὸς τὴν Ἁγίαν αὐτὴν Εἰκόνα, ὅτι εἶναι χιλίων ἑπτακοσίων τριάκοντα χρόνων Ζωγραφία καὶ κανένα σημεῖον σήψεως δὲν ἔχει ἐπάνω της οὔτε μὴν θρίψιν τινα ἔχει, μάλιστα δὲν δύναται τινὰς νὰ καταλάβῃ τί εἶδος πράγματος εἶναι, καὶ ὄπισθεν βάζεις τὸ μαχαῖρι νὰ ἀκουμπήσῃ καὶ γλιστρᾷ· καὶ πάλιν πολλάκις θέλουσι νὰ τὴν μετατοπίσωσιν εἰς ἄλλο μέρος καὶ, ὅταν δὲν ἀρέσκεται ἡ χάρις τις, δὲν εἶναι τρόπος νὰ τὴν σαλεύσωσιν ἀπὸ τὸν τόπον ἐκεῖνον. Μετὰ τὸν πυρπολισμὸν, τὸν τρίτον τώρα ὕστερον, ὁποῦ ἐγίνη, ἠθέλησαν νὰ τὴν ὑπάγωσιν εἰς ἄλλο μέρος, διὰ τὴν ταχύτητα τοῦ τόπου, ὁποῦ εἶναι Ὄρη μεγάλα καὶ Βουνὰ σκληρότατα, καὶ εἶναι δύσκολος πολλὰ ἡ ὁδοιπορία, καὶ ἐπλησίασαν νὰ τὴν σαλεύσωσιν ἀπὸ τὸν τόπον της εἰς τὴν Βασιλικὴν, ὁποῦ ἦτον, καὶ δὲν ἐδυνήθησαν παντελῶς, δεήσεις καὶ ἱκεσίας ποιοῦντες μετὰ εὐχῶν, μόλις κατέπαυσαν τὴν βροχὴν, ὁποῦ ἔπιπτεν εἰς τὴν γῆν ῥαγδαία ποταμηδόν. Καὶ τίς δύναται νὰ ἀπαριθμήσῃ ἓν πρὸς ἓν τὰ ὅσα γίνονται εἰς Ἐθνικοὺς καὶ Ἑτεροδόξους; ἐγνώρισες τώρα ὁ πολλὰ περίεργος ἐσὺ καὶ ἐρευνητὴς τῶν ἀποκρύφων τοῦ Θεοῦ, καὶ ἐρωτᾷς διατί δὲν φαίνεται ἡ θέα τοῦ Προσώπου τῆς Ἁγίας Εἰκόνος; τοῦτο εἶναι Πρόνοια Θεοῦ, διὰ τὰ αἴτια, ὁποῦ προείπομεν, μ' ὅλον τοῦτο δὲν ἐμποδίζουν τινὰ οἱ Πατέρες νὰ πλησιάσῃ καὶ νὰ ἀνοίξῃ τὴν σκέπην καὶ νὰ ἴδῃ· πλὴν ὁ δυνάμενος χωρεῖν χωρείτω.

Κατὰ τὸ χιλιοστὸν ἑπτακοσιοστὸν ἑβδομηκοστὸν ἕκτον ἔτος ἀπὸ Χριστοῦ εὐλαβής τις Ἱερομόναχος, Ῥόδιος, ἀνὴρ ἐλλόγιμος, Ἰωάννης τοὔνομα, ἐξ Ἱερουσαλὴμ καταβαίνων εἰς Κύπρον καὶ ἐλθὼν εἰς τὴν Μονὴν τοῦ Κύκκου χάριν προσκυνήματος ἐζήτησεν ὅτι νὰ μείνῃ

εἰς τὴν Ἐκκλησίαν τῇ νυκτὶ ἐκείνῃ ἔγκλειστος, εὐλαβείας χάριν· οἱ
δὲ Πατέρες, ὡσὰν ὁποῦ δὲν εἶχον τοιαύτην συνήθειαν, δὲν ἐσυγκατά-
νευσαν εἰς τοῦτο. Ὁ δὲ Ἰωάννης θερμῶς δεόμενος καὶ παρακαλῶν
ἐδέετο ὅτι νὰ τὸν ἀφήσωσι νὰ μείνῃ μίαν νύκτα εἰς Ἐκκλησίαν μό-
νος. Τέλος ὅμως συγκατανεύσαντες τὸν ἄφησαν· αὐτὸς δὲ, ἀπολαύ-
σας τοῦ ποθουμένου, κατὰ τὸ αἴτημά του, καὶ μείνας μόνος ἐν τῇ
Ἐκκλησίᾳ τῇ νυκτὶ ἤρξατο προσεύχεσθαι· εἶχε δὲ καὶ εἰς τὰς χεῖρας
αὐτοῦ ἕως δέκα ἢ καὶ δεκαπέντε κηρία διά νὰ ἀναγνώσῃ τὴν Ἀκο-
λουθίαν του, τὰ ὁποῖα τὰ ἔβαλεν ἐπάνω εἰς τὸ Μανουάλιον, ὁποῦ
ἦτο ἄντικρυς τῆς Ἁγίας Εἰκόνος, καὶ ἤρξατο μετ᾿ εὐλαβείας τοὺς
Οἴκους τῆς Θεοτόκου ἀναγνώσασθαι· εἶτα δὲ καὶ τὴν πρὸς αὐτὴν
Παράκλησιν. Πληρωθείσης δὲ ταύτης, ἤρξατο καὶ τὴν ἄλλην Πα-
ράκλησιν· πληρωθείσης οὖν καὶ ταύτης, ἤρξατο πίπτειν εἰς τὴν γῆν
καὶ μετανίζειν· πίπτων δὲ καὶ ἐγειρόμενος καὶ μετανίζων καὶ ἐκ τοῦ
κόπου ἀποκαμὼν ἤρξατο διαλογίζεσθαι ἐν ἑαυτῷ· ἱκανὴν δ᾿ ὥραν
διαλογιζόμενος (ἦσαν δ᾿ ἄνθρωποι δύο προσταγμένοι παρὰ τοῦ
ἡγουμένου, κεκρυμμένοι ἔνδον ἐν τῇ Ἐκκλησίᾳ εἰς τόπον ἀπόκρυφον
καὶ ἑώρων αὐτὸν παρατηροῦντες τί μέλλει ποιῆσαι) πλησιάσας τῇ
Ἁγίᾳ Εἰκόνι καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ εἰς τὴν σκέπην, ἐν ᾗ ἦν
κεκαλυμμένη ἡ Ἁγία Εἰκὼν, τοῦ ἀνακαλύψαι αὐτὴν, ὢ τοῦ θαύ-
ματος! βαβαὶ τοῦ παραδόξου πράγματος! φεῦ, καὶ πῶς ἀδακρυτὶ
διηγήσομαι τὸ γεγονός; ἐξαίφνης λαύρα τις λεπτοτάτη διεξελθοῦσα
ἐκ τῆς μικρᾶς θυρίδος ἐκείνης καὶ εἰς τὸ πρόσωπον τοῦ ἀνδρὸς δι-
αδοθεῖσα, σεισθεὶς δὲ καὶ ὁ τόπος, ἐν ᾧ ἵστατο, καὶ ἐπιστρέψας τὸ
πρόσωπον αὐτοῦ ὁ ἀνὴρ πρὸς τὸ Μανουάλιον, βλέπει ὅτι τὰ κηρία
ὁποῦ ἔβαλεν ἐπάνω εἰς αὐτὸ πλαγίως, τὰ ὁποῖα εἶχε διὰ νὰ ἀνα-
γνώσῃ τὴν Ἀκολουθίαν του, εὐθὺς ἄναψαν αὐτομάτως καὶ ἔκαιον.
Τοῦτο βλέπων ὁ ἀνὴρ παραδόξως καὶ ἀμηχανὴς γενόμενος τὸ τί
πρᾶξαι οὐκ οἶχεν, εἰμὴ Παναγία Θεοτόκε μεγαλοφώνως
βοήσας καὶ πρηνὴς πεσὼν ἔκειτο ἄλαλος· ἐλθόντες δὲ οἱ ἄνθρωποι
ἐκεῖνοι οἱ παρὰ τοῦ ἡγουμένου διορισθέντες λεληθότως εἰς τὸ φυ-
λάττειν αὐτὸν καὶ προσέχειν ἐν τῇ Ἐκκλησίᾳ καὶ ἰδόντες κείμενον
οὕτως ὡς ἡμιθανῆ γενόμενον ἤγειραν αὐτὸν καὶ ἔξω που τῆς Ἐκ-
κλησίας ἐξώσαντες καὶ ἐάσαντες μεθ᾿ ἱκανὴν ὥραν ἠρώτων αὐτὸν



τί ἦτον τὸ συμβὰν, ὁποῦ ἔπαθεν. Ἔνθους οὖν ὢν ὁ Ἰωάννης
ἀτενεῖ τῷ ὄμματι ἑώρα αὐτοὺς, μηδὲν δυνάμενος λαλεῖν· οὐδεὶς μέν-
τοι γε ἔγνω τὸ γεγονὸς ἐκ τῶν Πατέρων. ἦν γὰρ ὥρα τετάρτη τῆς
νυκτός. Ἀνανήψας οὖν ὀλίγον κατ᾿ ὀλίγον ὁ ἀνὴρ, ἐπειδὴ εἰσῆλθεν
ἐν τῇ Ἐκκλησίᾳ καὶ ἔκειτο ἔμπροσθεν τῇ Ἁγίᾳ Εἰκόνι, ἔκρουσαν
τὸ σήμαντρον τοῦ ἀναγνώσασθαι τὸν Ὄρθον, μετὰ δὲ τὴν ἀπόλυ-
σιν ἠρώτησαν αὐτὸν ἐξηκριβωμένως καὶ διηγήσατο αὐτοῖς τὸ συμ-
βὰν, ὅπερ ἔπαθε καὶ ἑώρακε. Δοξάσαντες δὲ τὴν Θεοτόκον ἅπαντες
τὴν τοσαῦτα μεγαλεῖα πεποιηκυῖαν διὰ τῆς Χαριτοβρύτου αὐτῆς
Ἁγίας Εἰκόνος ἀπέλυσαν αὐτὸν λέγοντες· ὕπαγε, Πάτερ, ἐν εἰρήνῃ
καὶ διηγοῦ ὅσα τε ἑώρακες καὶ πάσχων ἐδοκίμασας.

Βλέπετε, ἄνδρες περίεργοι καὶ ὑπερόπται τῶν ἀπορρήτων πραγ-
μάτων; ἴδετε οἱ ἐρευνηταὶ καὶ ἐξετασταὶ τῶν τοῦ Θεοῦ Προνοιῶν,
οἱ λέγοντες τοῦτο πῶς καὶ ἐκεῖνο πῶς; πῶς; οὐκ οἶδας πῶς; ὑπὲρ
τὸ πῶς σοῦ ἀποκρίνεται ὁ Χρυσορρήμων Διδάσκαλος, ὑπὲρ τὸ πῶς
τὰ πάντα τοῦ Θεοῦ· προνοεῖ γὰρ ὁ Πάνσοφος πάντα, ὡς ἡ Θεία
Βούλησις αὐτοῦ καὶ θέλησις οἶδεν, ὑπὲρ φύσιν δὲ πάντα τὰ τοῦ
Θεοῦ Θαυμάσια. Ἡ ῥάβδος τοῦ Ἀαρὼν πῶς ἐβλάστησε; καὶ τάχα
τὸ ἠξεύρεις ἐσὺ ὁ περίεργος; καὶ πῶς νὰ τὸ καταλάβῃς, ὁποῦ εἶναι
ὑπὲρ φύσιν; Ὅλα λοιπὸν τὰ ὑπὲρ φύσιν γινόμενα παρὰ Θεοῦ εἶναι
ἀκατάληπτα, ἀδύνατον νὰ τὰ χωρήσῃ ὁ νοῦς τοῦ ἀνθρώπου. Πῶς
τὸ Μάννα ἔπιπτεν ἐκ τοῦ Οὐρανοῦ και ἔδιδεν εἰς τὴν γεῦσιν τὴν
γλυκύτητα τοῦ κάθε φαγητοῦ, ὁποῦ ἤθελεν ζητήσῃ ὁ κάθε Ἰσραη-
λίτης εἰς τὴν ἔρημον; Πῶς ἐσχύσθη ἡ ξηρὰ πέτρα, κτυπῶντας ὁ
Προφήτης Μωϋσῆς μὲ τὴν ῥάβδον του, καὶ ἔβγαλε γλυτύτατον νε-
ρόν; Πῶς ἡ Βάτος, ὁποῦ εἶδεν, ἐκαίετο καὶ δὲν ἐκατακαίετο; Πῶς
ὁ πόκος τοῦ Γεδεὼν ἐπλημμύρησεν ὑετὸν καὶ ἡ γῆ ἔμεινε κατάξη-
ρος; καὶ πάλιν ἡ γῆ ὅλη νὰ πλημμυρίσῃ ἀπὸ τὴν βροχὴν καὶ ὁ πό-
κος, ἡ προβιὰ δηλαδὴ νὰ μείνῃ κατάξηρος; Πῶς αὐτὰ ὅλα; ὑπὲρ
τὸ πῶς, ὑπὲρ φύσιν ὅλα, ὑπὲρ ἔννοιαν καὶ ὑπὲρ κατάληψιν ὅλα.
Καὶ ποῦ ἠμπορῶ νὰ σοῦ ἀπαριθμήσω τώρα ἓν πρὸς ἓν ὅλα τὰ ὑπὲρ
φύσιν γινόμενα καὶ γεγονότα, πῶς τὸ τίμιον λείψανον εἶναι ἄγνω-
στον τοῦ μεγάλου Παχωμίου: πῶς τοῦ Μεγάλου Ἀρσενίου; τοῦ
Μεγάλου Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ; πῶς τῶν τοσούτων Ὁσίων

Λείψανα, τὰ ὁποῖα εἶναι ἀγνώριστα ἀπὸ ὅλους καὶ δὲν ἠξεύρουσι ποῦ εὑρίσκονται, οἱ ὁποῖοι παρεκάλεσαν τὸν Θεὸν νὰ μὴν τοὺς φανερώσῃ καὶ εἶναι ἀγνώριστοι εἰς ὅλους ; Οὕτως ὁ Θεὸς εἰσακούει φωνῆς τῆς δεήσεως τῶν δούλων αὐτοῦ καὶ φίλων του. Οὕτω καὶ εἰς τὴν Χαριτόβρυτον ταύταν Ἁγίαν Εἰκόνα τῆς Μητρός του, τοιουτοτρόπως ᾠκονόμησεν ἡ Πρόνοιά του, διὰ νὰ διαφέρῃ ἀπὸ ὅλας τὰς ἄλλας Ἁγίας Εἰκόνας, ὁποῦ εὑρίσκονται εἰς τὸν Κόσμον τὰς Θεομητορικὰς, εἰς τὸ νὰ ἔχῃ τὸ αἰδέσιμον μέγα καὶ τὸ σεβάσμιον καὶ τὸ σέβας παρὰ τῶν Ὀρθοδόξων,διὰ τὴν ἥνπερ Χάριν, ὁποῦ ἡ Μήτηρ αὐτοῦ ἐζήτησεν ἀπὸ αὐτὸν τὸν Σωτῆρα, τὸν Μονογενῆ αὐτῆς Υἱὸν, καὶ διὰ τὰ χαριτόβρυτα λόγια, ὁποῦ αὐτὴ ἡ Πανάχραντος ἐκφώνησεν νὰ ἔχῃ χάριν ἡ Ἁγία της Εἰκών. Χάρις Θεία, Χάρις Οὐράνιος, Χάρις ἀνεξάλειπτος καὶ θεοβράβευτος, Χάρις, ὁποῦ ἐζητήθη ἀπὸ μίαν Μητέρα τοῦ Θεοῦ, καὶ Χάρις, ὁποῦ ἐδόθη ἀπὸ ἕνα Υἱὸν τοιοῦτον, χωρὶς Πατρὸς εἰς τὴν γῆν καὶ χωρὶς Μητρὸς εἰς τὸν Οὐρανόν· ἀπὸ ἕνα Υἱὸν τοιοῦτον, ὅστις εἶναι Δημιουργὸς καὶ Ποιητὴς τοῦ Παντὸς τούτου Κόσμου καὶ Βασιλεὺς τῶν βασιλευόντων τῶν αἰώνων ἁπάντων. Τί λέγεις τώρα εἰς ὅλα αὐτὰ, Ἄρχον Σοφιστὰ καὶ τερατολόγε ; παῦσαι μάταιε, παῦσαι· ἐλθὲ εἰς τὸν ἑαυτόν σου· συλλογίζου τὰ μόνιμα καὶ παντοτινὰ, τὰ ὁποῖα σοῦ γίνονται αἰτία νὰ ὠφεληθῇς καὶ νὰ ζήσῃς αἰώνια καὶ ἀθάνατα.

Ἡμεῖς γνωρίζομεν καὶ καταλαμβάνομεν ἀληθῶς πῶς ζῶμεν μίαν ζωὴν, ὁποῦ τρέχει καὶ δὲν ἔχει στερέωσιν, μόνον περνᾷ καὶ διαβαίνει καὶ παρέρχεται καὶ ἀκόμη ὅσον δὲν φαίνεται τὸ τέλος, τόσον πλέον ὀγλήγορα φθάνει, διὰ νὰ χωρισθῇ ἀπὸ αὐτὸν τὸν Κόσμον, καὶ τόσον ἔξαφνα ἔρχεται τὸ τέλος τῆς ζωῆς μας, ὁποῦ δὲν φθάνομεν κἂν νὰ ἑτοιμάσωμεν τὰ πρὸς τὴν ἔξοδον τῆς ζωῆς μας, διατὶ ἡ ζωὴ ἡ ἐδική μας εἶναι μία στράτα, ὁποῦ δὲν μᾶς ἀφήνει νὰ γυρίσωμεν ὀπίσω, ἡ ὁποία ἁπλώνεται ἀπὸ τὸν καιρὸν τῆς γεννήσεώς μας, ἕως καὶ εἰς τὸ τέλος τῆς αὐτῆς ζωῆς, τοῦ θανάτου μας δηλαδή. Αὐτὸς ὁ Κόσμος εἶναι ὡσὰν ἕνα ξενοδοχεῖον, εἰς τὸ ὁποῖον κατοικοῦν καὶ εὑρίσκονται ὅλοι οἱ ἄνθρωποι καὶ ὅλα, ὅσα εὑρίσκονται καὶ ἔχει ὁ Κόσμος αὐτὸς. σήμερον εἶναι ἐδικά μας καὶ αὔριον τὰ ὁρίζουν ἄλλοι τινὲς καὶ ποτὲ δὲν θέλει τὰ ὁρίσει τινὰς, καὶ



ἔχομεν ὅλοι χρέος νὰ δώσωμεν λογαριασμὸν ἔμπροσθεν εἰς ἕνα Κριτὴν, διὰ ὅλα ἐκεῖνα, ὁποῦ ἐκάμαμεν. Χθὲς ἐγεννήθημεν, σήμερον ζῶμεν καὶ αὔριον ἀποθνήσκομεν· διότι αὐτὸ ὁ Κόσμος εἶναι κατοικία τῶν ζώντων καὶ τάφος τῶν ἀποθαμένων. Λοιπὸν ἐν ὅσῳ ἔχομεν καιρὸν ἂς ἐπιμεληθῶμεν νὰ ἀρέσωμεν εἰς τὸν Χριστὸν, ἐν ὅσῳ ἔχομεν τὰς φρένας μας ἂς πασχίσωμεν μὲ τὸ μέσον αὐτῶν τῶν φρενῶν νὰ δοξάσωμεν τὸν Ποιητήν μας Θεόν· ἐν ὅσῳ ζῶμεν, ἂς κάμνωμεν τὸ καλὸν καὶ ἀγαθόν· ἐν ὅσῳ εἶμαι ἐξουσιαστὴς τῶν πραγμάτων, ὁποῦ ἔχω, ἂς στείλω ἀπὸ αὐτὰ εἰς τὸ μέρος ἐκεῖνο, ἀπὸ τὸ ὁποῖον ἔχω χρείαν ὕστερον εἰς ὀλίγον καιρόν· ἐν ὅσῳ ἔχω ἐξουσίαν νὰ γίνω οὐράνιος ἄνθρωπος καὶ ὄχι τοῦ ᾅδου δοῦλος, ἂς ἑτοιμασθῶ διὰ νὰ ἀναίβω εἰς τὸν Οὐρανόν.

Ἡ ζωὴ τῶν ἀνθρώπων ὅλων ὁμοιάζει μὲ τὴν θάλασσαν, καὶ ἡ ψυχὴ ἐκείνη, ὁποῦ θέλει νὰ σωθῇ, ὁμοιάζει μὲ ἕνα καράβι, καὶ ὁ Καραβοκύρης εἰς αὐτὸ εἶναι ὁ Νοῦς τοῦ ἀνθρώπου, καὶ τὰ καλὰ ἔργα εἶναι τὸ καλὸν φόρτωμα τοῦ καραβίου, καὶ ὁ λιμένας ὁποῦ ἔχει νὰ ἀράξῃ τὸ καράβι, εἶναι ὁ Οὐρανός· καὶ ἀκόμη ὁμοιάζει ἡ ψυχὴ ἡ ἐδική μας μὲ ἕνα καράβι, ὁποῦ ἑτοιμάζεται νὰ κάμῃ πανιὰ νὰ φύγῃ· καὶ ἀκόμη ὁμοιάζει μὲ ἕνα στράτευμα, ὁποῦ προσμένει νὰ πότε νὰ ἀκούσῃ τὴν φωνὴν τῆς σάλπιγγος καὶ νὰ κινήσῃ εἰς τὸν πόλεμον· καὶ πάλιν ἐκεῖνος, ὁποῦ προσμένει νὰ προσκαλεσθῇ ἀπὸ τὸν Βασιλέα του εἰς τὴν αὐρινὴν ἡμέραν, ποίαν ἄλλην φροντίδα ἠμπορεῖ νὰ ἔχῃ ὁ τοιοῦτος παρὰ νὰ ἑτοιμάζεται διὰ ἐκεῖνα τὰ πράγματα, ὁποῦ ἤθελε νὰ ἐρωτήσῃ ὁ Βασιλεὺς, καὶ αὐτὸς νὰ ἀποκρίνεται κατὰ τὴν ἀρέσκειαν τοῦ Βασιλέως; Ὦ ψυχὴ λοιπὸν τοῦ ἀνθρώπου, εἰπὲ λοιπὸν, ὦ ψυχὴ, εἰς τὸ σῶμά σου τὸ ἴδιον· νὰ λοιπὸν, ὁποῦ ἔφθασεν εἰς ἡμᾶς τὸ τέλος καὶ ἡ συντέλεια διπλάσιος· ἔφθασε τὸ τέλος τοῦ Κόσμου, ἔφθασε καὶ τὸ γῆρας· νὰ λοιπὸν, ὁποῦ ἔκλινεν ἡ ἡμέρα καὶ πλησιάζει ὁ Ἥλιος νὰ βασιλεύσῃ, τί ἔχομεν νὰ κάμωμεν τώρα εἰς τὸν Κόσμον; ὁ καιρός μας εἶναι ὀλίγος· ὡς τόσον ἀκόμη ὀλίγον, καὶ μέλλεις νὰ ὑπάγῃς εἰς τὸ μνημεῖον καὶ νὰ γίνῃς χῶμα καὶ κόνις. Εἰπὲ πάλιν καὶ σὺ, Ψυχὴ, τί κάμνεις ἐδῶ ; πήγαινε, κατέφευγε εἰς τὸν Θεὸν, μήπως καὶ κολασθῇς εἰς τὸ αἰώνιον πῦρ· ἕως πότε ἡ γλυκύτης τοῦ Κόσμου ; ἕως πότε ἡ ἀνάπαυσις; ἕως

πολὺν χρόνον ἔζησας μὲ τὸν Κό-
πότε μόχθοι, κόποι καὶ δουλεία; πολὺν χρόνον ἔζησας μὲ τὸν Κό-
σμον, ζῆσαι, καὶ ὀλίγον καὶ διὰ τὴν σωτηρίαν σου· πολὺν καιρὸν
ἐδούλευσες εἰς τὴν πλάνην τοῦ Κόσμου· τὸ ὀγλιγορότερον ἐλευθέ-
ρωσον τὸν ἑαυτόν σου ἀπὸ αὐτὴν, βάνε εἰς τὸν νοῦν σου τοὺς ἀπε-
ρασμένους χρόνους, ἐνθυμήσου ἀπὸ πόσον καιρὸν παράβλεπες τοὺς
χρόνους ἐκείνους καὶ πόσαις φοραῖς σοῦ ἐχαρίζετο καιρὸς ἀπὸ τὸν
Θεὸν καὶ ἐσὺ τὸν καιρὸν ἀθετοῦσες· λοιπὸν τώρα πρέπει μίαν φο-
ρὰν νὰ ἔλθῃς εἰς αἴσθησιν, διατὶ εἶναι εἰς τοῦ λόγου σου συνθήκη
γεγραμμένη ἀπὸ τὸν χρόνον καὶ τὸν καιρον, εἰς τὸν ὁποῖον αὐτὸν
καιρὸν ἀνίσως καὶ δὲν ἤθελες μεταχειρισθῇ τὰ πρέποντα, ὁποῦ σοῦ
χρειάζονται, ὁ καιρὸς ἐκεῖνος φεύγει ἀπὸ ἐσένα, καὶ σὺ φεύγεις ἀπὸ
τὸν καιρὸν, καὶ τότε ταπεινὴ ψυχὴ δὲν εἶναι τρόπος νὰ εὕρῃς ἄλλον
καιρόν. Ἐκεῖνος, ὁποῦ ἔχασε χρυσίον, εὗρεν ἄλλον ἀντὶ διὰ ἐκεῖνο,
ἀμὴ ἐκεῖνος, ὁποῦ ἔχασε μίαν φορὰν τὸν καιρὸν, ποτὲ πλέον δὲν
τὸν ηὗρε. Νὰ ὁποῦ ἔφθασεν εἰς τὴν θύραν ὁ Ἄγγελος, ὁποῦ ἔχει
νὰ σὲ χωρίσῃ ἀπὸ τὸ σῶμα, ἔφθασε τὸ τέλος σου, ταλαίπωρε· πῶς
κάθεσαι ἀμέριμνος; τί χαίρεσαι εἰς ἐκεῖνα, ὁποῦ ὀλίγον ἔχεις νὰ τὰ
ἀφήσῃς, τῶν ὁποίων τὴν ὄψιν δὲν τὴν βλέπεις αἰωνίως; ἐξύπνησε,
παράβλεψέ τα ὅλα, πρόσπεσον εἰς τὸν Θεόν. Ἔχομεν νὰ ἀφήσωμεν
αὐτὰ τοῦ Κόσμου αἰωνίως καὶ πλέον ὀπίσω δὲν γνωρίζομεν· ὅσον
ἔχομεν πόδας, ἂς τρέχωμεν ὀπίσω τῶν καλῶν πραγμάτων· ἐν ὅσῳ
ἔχομεν ὀφθαλμοὺς, ἂς τοὺς γεμίζωμεν ἀπὸ δάκρυα, πρὸ τοῦ νὰ σκε-
πασθοῦν μὲ τὸ χῶμα· ἐν ὅσῳ ἔχομεν χεῖρας, ἂς κάμνωμεν τὰ καλὰ
ὅλα· ὁ καιρὸς κοντοζυγώνει, ἄς ἐξυπνήσωμεν.

Ἐγέρθητι, ὦ Ψυχή· ἀγωνίσου, ἐπιμελήσου, ἄς ἑτοιμασθῶμεν,
ὦ Ψυχή· ὁ καιρὸς τοῦ μισεμοῦ μας ἔφθασεν· ἀμὴ τί πρέπει; ἀδελ-
φοί μου ἀγαπητοὶ, ἐγὼ ὁ ταλαίπωρος, ὁποῦ τὰ γράφω αὐτὰ, ἐμαυ-
τὸν ταλανίζω ὁ ἄθλιος, γενόμενος Κριτὴς τῶν ἄλλων καὶ εἰς τὸν
ἑαυτόν μου εἶμαι ἀδόκιμος· ἀλγεινὴ εἶναι ἡ πληγή μου ἀγαπητά
μου τέκνα. Τοῦτο τὸ πονημάτιον τὸ παραμικρὸν τὸ ἔκαμα χάριν τῶν
πολλῶν ἀνθρώπων, ὁποῦ περιεργάζονται καὶ ἐρευνοῦν τὰ ὑπὲρ φύ-
σιν πράγματα καὶ ἀπολύονται οἱ ἄθλιοι καὶ θέλοντες νὰ εἶναι σο-
φοὶ μωραίνονται. Τίς οἶδε νοῦν Κυρίου ἢ τίς σύμβουλος αὐτοῦ
ἐγένετο; βοᾷ Παῦλος ὁ Μέγας· ἀνεξερεύνητα εἶναι τὰ Κρίματα τοῦ



Θεοῦ, Τέκνα ἀγαπητὰ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ· μὴ πλα-
νᾶσθε, Θεὸς οὐ μυκτηρίζεται, διότι θάνατος ἁμαρτωλῶν πονηρὸς καὶ
οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται, κατὰ τὸν Δαβίδ. Κρίσις ἐστὶ
καὶ ἀνταπόδοσις τῶν ἔργων, τόσον τῶν ἀγαθῶν, ὅσον καὶ τῶν κα-
κῶν Πολλοὶ ὅμως λέγουσι, ποῖος ἦλθεν ἀπο τὴν ἄλλην ζωὴν καὶ
τα ἐφανέρωσεν αὐτά: ποῖος τὰ εἶδε αὐτὰ καὶ τὰ ἀνήγγειλεν: ἄς
εἶσθε βέβαιοι, ἀγαπητὰ Τέκνα, ὅτι κανένας ἀπὸ τοὺς ἀνθρώπους
ὄχι μήτε ἀπὸ τοὺς Ἀγγέλους, καθὼς λέγει ὁ Θεῖος Χρυσόστομος,
μήτε ἀπὸ τὰς Ἀρχὰς καὶ Ἐξουσίας τοῦ Οὐρανοῦ, ἀμὴ ποῖος; ποῖος
λοιπόν; ὁ ἴδιος αὐτὸς ὁ Ποιητὴς τοῦ Κόσμου ὅλου τοῦ ὁρατοῦ
καὶ ἀοράτου, αὐτὸς ὁ ἴδιος ὁ Δεσπότης Χριστὸς, προτοῦ ἀκόμη νὰ
φθάσῃ καὶ νὰ ἔλθῃ ἐκείνη ἡ ἡμέρα, αὐτὸς ἀπεφάσισε εἰς τὸ Θεῖόν
του καὶ Ἱερὸν Εὐαγγέλιον διὰ ὅλους ἐκείνους, ὁποῦ ἔχουν νὰ κρι-
θοῦν τότε. Τί ἀποφάσισε; ἄκουε, ἔχε ὦτα τοῦ ἀκούειν· «Ὅτι ἀπε-
»λεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώ-
»νιον». Ὢ ἀθλιότης! ὢ καταδίκη αἰώνιος! ὢ ἀποχωρισμὸς παρά-
λογος! οὐαὶ τοῖς ἁμαρτωλοῖς τότε!

Φεῖσαι ἡμᾶς, Δέσποινα Πολυέλεε, κἀμὲ τὸν ἁμαρτωλὸν καὶ
μυριόπτωτον τον πολλὰ ἡμαρτηκότα σοι· Ἰησοῦ, τὸ Σωτήριον ὄνο-
μα, ἐμὲ τὸν δοῦλον, τὸν ἀναξίως τῆς Ἀρχιερωσύνης βαθμὸν λα-
βόντα καὶ ἀθετήσαντα καὶ προτοῦ καὶ ὕστερον τὰ Θεῖά σου προσ-
τάγματα παραβάντα· Παντάνασσα Δέσποινα, Μήτηρ ἁπάντων ἡμῶν,
σῶσον δὴ, πρόφθασον, ἐξελοῦ· πῶς ἀναστρέφεις τὸ Πρόσωπόν σου
ἀφ' ἡμῶν, ἀειπάρθενε Πανάμωμε; ἴδε τὴν κάκωσιν τῶν ἁμαρτιῶν
ἡμῶν, ἴδε τὰς θλίψεις, τοὺς πόνους, τοὺς ἀναστεναγμοὺς, τὰ δάκρυα
καὶ ῥῦσαι ἡμᾶς ἐκ τῶν καταδυναστευόντων καὶ καταθλιβόντων
ἡμᾶς δαιμόνων ἀνηλεῶν καὶ ἐπάρπασον ἡμᾶς ἐκ τῶν θλιβόντων
τούτων· Ναί, Δέσποινα, Μήτηρ τοῦ λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν,
σοὶ βοῶμεν, Πανάχραντε Δέσποινα ἅπαντες οἱ δοῦλοί σου εὐσεβεῖς
σὲ ἱκετεύομεν, σοῦ δεόμεθα, ἀπολλύμεθα, Μῆτερ, σῶσον ἡμᾶς·
Χριστιανῶν τὸ Κέρας ὕψωσον· ἡμᾶς ἅπαντας, τοὺς ἐν τῇ Μονῇ σου
ταύτῃ οἰκοῦντας, διὰ τῆς Χαριτοβρύτου Σεπτῆς Εἰκόνος περιφρού-
ρησον, ὦ Κόρη Μυριώνυμε. Ψυχὴ, ὦ ψυχὴ, ἔγειρε, καιρὸς ἐξόδου
ἥκει, κάμε, σπούδασον· ἑτοιμασθῶμεν λοιπὸν, ὦ ψυχὴ, ἀλλὰ σῶσόν
με, σῶσόν με ὁ Πατὴρ. ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα, ἡ Ἁγία
Τριάς. Σῶσόν με ὁ εἷς καὶ μόνος Θεός· ὅτι σοὶ πρέπει Δόξα, Κρά-
τος καὶ Προσκύνησις εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*Ὁ πάντων ἡμῶν, ἁπάντων τῶν ἀναγινωσκόντων τὸ παρὸν*
*Πονημάτων ἐν Χριστῷ διάπυρος Εὐχέτης.*
*Ὁ Πισσίδιος Σεραφείμ, ὁ καὶ πρῴην Ἀγκύρας.*

### Ὠδὴ ς΄. Ὁ Εἱρμός.

»Βάτος ἐν ὄρει πυράφλεκτος, καὶ δροσοβόλος κάμινος Χαλδαϊκή, σαφῶς προγράφει σε Θεόνυφε· τὸ γὰρ θεῖον ἄϋλον ἐν ὑλικῇ γαστρὶ πῦρ ἀφλέκτως ἐδέξω· διὸ τῷ ἐκ σοῦ τεχθέντι κράζομεν· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν«.

Σοῦ ταῖς ἀΰλοις ἐμφάσεσιν, ὁ νομοθέτης εἴργετο κατανοεῖν, τὸ μέγα πάνσεμνε μυστήριον, μὴ φρονεῖν χαμαίζηλα, συμβολικῶς παιδευόμενος ποτὲ, διὸ ἐκπλαγεὶς τὸ θαῦμα ἔλεγεν· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὄρος καὶ πύλην οὐράνιον, καὶ νοητήν σε κλίμακα θεοπρεπῶς, χορὸς θεῖος προηγόρευσε, ἐκ σοῦ γὰρ λίθος τέτμηται, οὐχ ὑποστὰς ἐγχειρίδιον ἀνδρός· καὶ πύλην δι᾿ ἧς διῆλθε Κύριος τῶν θαυμασίων Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

### Εἱρμὸς ἄλλος.

»Τῶν χαλδαίων ἡ κάμηνος, πυρὶ φλογιζομένη, ἐδροσίζετο Πνεύματος, Θεοῦ ἐπιστασίᾳ· οἱ Παῖδες ὑπέψαλλον, Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων«.

Ἑορτάζομεν Ἄχραντε, καὶ πιστῶς προσκυνοῦμεν, τὴν Ἁγίαν σου γέννησιν, τὴν ἐξ ἐπαγγελίας· δι᾿ ἧς ἐλυτρώθημεν, τῆς ἀρχεγόνου ἀρᾶς, ἐπιφανέντος Χριστοῦ.

Νῦν ἡ Ἄννα εὐφραίνεται, καὶ βοᾷ καυχομένη· Στεῖρα οὖσα γεγέννηκα, τοῦ Θεοῦ τὴν Μητέρα, δι᾿ ἧς τὸ κατάκριμα, τῆς Εὔας λέλυται, καὶ ἡ ἐν λύπαις ὠδίς.

Ὁ Ἀδὰμ ἠλευθέρωται, καὶ ἡ Εὔα χορεύει, καὶ βοῶσιν ἐν πνεύματι, πρὸς σὲ τὴν Θεοτόκον. Ἐν σοὶ ἐλυτρώθημεν, τῆς ἀρχεγόνου ἀρᾶς, ἐπιφανέντος Χριστοῦ.



Στεῖραι ἄγονοι σπεύσατε, ψυχαὶ ἠτεκνωμέναι, ὅτι Ἄννα πολύτεκνος, καὶ νῦν εὐφραινομένη· μητέρες χορεύσατε, σὺν τῇ Μητρὶ τοῦ Θεοῦ, καὶ συναγάλεσθε.

### Δόξα.

Τὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, ἐν μονάδι θεότητος, Τριάδα παναγίαν ἀχώριστον ἄκτιστον, καὶ συναΐδιον καὶ ὁμοούσιον·

### Καὶ νῦν. Θεοτοκίον.

Σὺ Θεὸν μόνη ἔτεκες, Παρθένε μετὰ τόκον· σὺ τὴν φύσιν ἐκαίνισας, τῷ τόκῳ σου Μαρία· σὺ τὴν Εὔαν ἔλυσας, τῆς πρωτογόνου ἀρᾶς, Θεογεννήτωρ ἁγνή.

### Καταβασία.

Ἔκνοον πρόσταγμα τυράννου δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμεον· ἀλλ᾿ ἀντηχοῦντι δροσοβόλῳ πνεύματι, πυρὶ συνόντες ἔψαλλον· Ὁ ὑπερύμνητος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς Εὐλογητὸς εἶ.

### Ὠδὴ η΄. Ὁ Εἱρμός.

»Ἐν τῇ καμίνῳ τῇ τῶν Παίδων, προαπεικόνισας ποτὲ, τὴν σὺν Μητέρα Κύριε, ὁ γὰρ τύπος τούτους πυρὸς ἐξείλετο, ἀφλέκτως ἐμβατεύοντας· ἣν ὑμνοῦμεν ἐμφανισθεῖσαν διά σου τοῖς πέρασι σήμερον, καὶ ὑπεριμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας«.

Τῆς πρὸς Θεὸν ἡμῶν καταλλαγῆς, ἡ προορισθεῖσα σκηνὴ, τοῦ εἶναι νῦν ἀπάρχεται, τεξομένη Λόγον ἡμῖν παχύτητι, σαρκὸς ἐμφανιζόμενον· ὃν ὑμνοῦμεν οἱ ἐκ μὴ ὄντων, δι᾿ αὐτοῦ τὸ εἶναι λαβόντες, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τῆς στειρώσεως μεταβολὴ, τὴν κοσμικὴν τῶν ἀγαθῶν, διέλυσε στείρωσιν, καὶ τρανῶς τὸ θαῦμα Χριστὸν ὑπέδειξε, βροτεῖς

ἐπιδημήσαντα· ὃν ὑμνοῦμεν οἱ ἐκ μὴ ὄντων, δι' αὐτοῦ τὸ εἶναι λαβόντες, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Εἱρμὸς ἄλλος.**

»Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς θαλάσσῃ ὅριον ψάμμον, καὶ συνέχων τὸ πᾶν, σὲ ὑμνεῖ ἥλιος, σὲ δοξάζει σελήνη, σοὶ προσφέρει ὕμνον πᾶσα κτίσις, τῷ Δημιουργῷ καὶ Κτίστῃ εἰς τοὺς αἰῶνας«.

Ὁ ποιήσας παράδοξα, τῇ στειρωθείσῃ γαστρί, ὁ ἀνοίξας Ἄννης ἄγονον μήτραν, καὶ καρπὸν αὐτῇ δοὺς, σὺ Θεὸς Ἅγιος, σὺ Υἱὸς τῆς Παρθένου, σὺ ἐκ ταύτης σάρκα προσελάβου, τῆς ἀειθαλοῦς Παρθένου καὶ Θεοτόκου.

Ὁ σφραγίζων τὴν ἄβυσσον, καὶ ἐξανοίγων αὐτὴν, ὁ ἀνάγων ὕδωρ ἐν ταῖς νεφέλαις, καὶ διδοὺς ὑετὸν, σὺ ὁ δοὺς Κύριε, ῥίζης ἐκ τῆς ἀκάρπου ἐξανθῆσαι, Ἄννης τῆς Ἁγίας, ἄχραντον καρπὸν, τὴν ῥάβδον τὴν Θεοτόκον.

Σὺ ὁ λύσας τὰ ἄλυτα, τῆς ἀπαιδίας δεσμὰ, σὺ ὁ δοὺς τῇ στεῖρα γόνιμον τόκον, καὶ καρπὸν εὐκλεῆ, ἧς Υἱὸς γέγονας, καὶ βλαστὸς ἀνεφύης· ἣν Μητέρα ἔσχες κατὰ σάρκα, ἐν τῇ πρὸς ἡμᾶς οἰκτίρμον ἐπιδημίᾳ.

Γεωργὲ τῶν φρενῶν ἡμῶν, καὶ φυτουργὲ τῶν ψυχῶν, σὺ ὁ ἄκαρπον γῆν, εὔκαρπον δείξας· σὺ τὴν πάλαι ξηρὰν, γόνιμον εὐσταχυν, ἄρουραν καρποφόρον ἀπειργάσω, Ἄνναν τὴν Ἁγίαν, ἄχραντον καρπὸν ἀνθῆσαι τὴν Θεοτόκον.

**Δόξα.**

Ὢ Τριὰς ὑπερούσιε, μονὰς συνάναρχε, σὲ ὑμνεῖ καὶ τρέμει, πλῆθυς Ἀγγέλων, οὐρανὸς καὶ ἡ γῆ, ἄβυσσοι φρίττουσιν, ἄνθρωποι εὐλογοῦσι, πῦρ δουλεύει πάντα ὑπακούει, σοὶ Τριὰς Ἁγία, φόβῳ τὰ ἐν τῇ κτίσει.



**Καὶ νῦν. Θεοτοκίον.**

Ὢ καινότατον ἄκουσμα! Θεὸς Υἱὸς γυναικὸς καὶ ἀσπόρου τόκου, ἄνανδρος Μήτηρ, καὶ Θεὸς τὸ τεχθέν· ὢ φρικτὸν θέαμα! ὢ συλλήψεως ξένης τῆς Παρθένου! ὢ ἀφράστου τόκου! ὄντως ὑπὲρ νοῦν τὰ πάντα καὶ θεωρίαν.

**Καταβασία.**

»Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεὸν, ὑμνεῖτε τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας«.

**Ὠδὴ θ΄. Ἡ τιμιωτέρα οὐ στιχολογεῖται.**

**Ὁ Εἱρμός.**

»Ἡ τὸν πρὸ ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν, ἀφράστως σωματώσασα, εὐλογημένη πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν«.

Ὁ τοῖς ἀπειθοῦσι λαοῖς, ἐξ ἀκροτόμου βλύσας νάματα, τοῖς εὐπειθοῦσιν ἔθνεσι χαρίζεται, ἐκ λαγόνων στειρωτικῶν, καρπὸν εἰς εὐφροσύνην ἡμῖν, σὲ θεομῆτορ ἄχραντε, ἣν ἐπαξίως μεγαλύνομεν.

Τὴν τῆς ἀποτόμου ἀρχαίας, ἀναιρέτου ἀποφάσεως, καὶ τῆς προμήτορος τὴν ἐπανόρθωσιν, τὴν τοῦ γένους τῆς πρὸς Θεὸν, αἰτίαν οἰκειώσεως, τὴν πρὸς τὸν κτίστην γέφυραν, σὲ Θεοτόκε μεγαλύνομεν.

**Εἱρμὸς ἄλλος.**

»Ἀλλότριον τῶν Μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα· ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη. Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν«.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐπάξιον Θεομῆτορ τῆς σεῖς ἁγνείας, τὸν τόκον ἐκπληρώσω δι' ἐπαγγελίας· τῇ ποτὲ γὰρ ἀκάρπῳ, θεόβλαστος καρπὸς ἐδόθης· διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.

Πεπλήρωται τοῦ βοῶντος ἡ προφητεία· φησὶ γάρ, Ἀναστήσω σκηνὴν τὴν πεπτωκυῖαν, τοῦ Ἱεροῦ Δαυΐδ, ἐν σοὶ Ἄχραντε προτυπωθεῖσαν, δι' ἧς ὁ σύμπας τῶν ἀνθρώπων χοῦς, εἰς σῶμα ἀνεπλάσθη Θεῷ.

Τὰ σπάργανα προσκυνοῦμέν σου Θεοτόκε, δοξάζομεν τὸν δόντα, καρπὸν τῇ πρῴην στείρᾳ, καὶ ἀνοίξαντα μήτραν τὴν ἄγονον ἐκ παραδόξου· ποιεῖ γὰρ πάντα ὅσα βούλεται, Θεὸς ὢν παντεξούσιος.

Ἐβλάστησας νυμφοτόκε Ἄννα θεόφρον, ἐκ μήτρας πυρ' ἐλπίδα, καὶ ἐξ ἐπαγγελίας, παρθενόφυτον ἄνθος, θεόβλαστον ἁγνοία κάλλος· διό σε πάντες μακαρίζομεν, ὡς ρίζαν τῆς ζωῆς ἡμῶν. **Δόξα.**

Ἀλλότριον τοῖς ἀνόμοις ἐστὶ δοξάζειν, τὴν ἄναρχον Τριάδα, Πατέρα καὶ Υἱόν τε, καὶ Ἅγιον Πνεῦμα, τὴν ἄκτιστον παγκρατορίαν, δι' ἧς ὁ σύμπας κόσμος ἥδρασται τῷ πνεύματι τοῦ κράτους ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἐχώρησας ἐν γαστρί σου Παρθενομῆτορ, τὸν ἕνα τῆς Τριάδος Χριστὸν τὸν Βασιλέα, ὃν ὑμνεῖ πᾶσα κτίσις, καὶ τρέμουσιν οἱ ἄνω θρόνοι· αὐτὸν δυσώπει πανσεβάσμιε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**Καταβασία.**

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν, ὑφ' οὗ τὸ τοῦ Σταυροῦ, ζωηφόρον ἐν γῇ, πεφυτούργηται δένδρον· δι' οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

**Ἑτέρα.**



Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήργηται σήμερον, τῆς γὰρ προμήτορος ἡ παγγενὴς, κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς ἁγνῆς Θεομήτορος· ἣν πᾶσαι αἱ Δυνάμεις, τῶν οὐρανῶν μεγαλύνουσι.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Ἀγάλλονται τὰ πέρατα τῆς οἰκουμένης σήμερον, ἐν τῇ γεννήσει σου κόρη, Θεοκυῆτορ Μαρία, καὶ ἀπειρόγαμε νύμφη· ἐν ᾗ καὶ τῶν φυσάντων σε, τὸ λυπηρὸν διέλυσας, τῆς ἀτεκνίας ὄνειδος· καὶ τῆς προμήτορος Εὔας, τὴν ἐν τῷ τίκτειν κατάραν.

**Ἕτερον, ὅμοιον.**

Ἀδὰμ ἀνακαινίσθητι, καὶ Εὔα μεγαλύνθητι, προθῆται σὺν Ἀποστόλοις, χορεύσατε καὶ Δικαίοις· κοινὴ χαρὰ ἐν τῷ κόσμῳ, Ἀγγέλων τε καὶ ἀνθρώπων, ἐκ τῶν δικαίων σήμερον, Ἰωακεὶμ καὶ τῆς Ἄννης, γεννᾶται ἡ Θεοτόκος

**Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχους δ'. καὶ ψάλλομεν Στιχηρὰ προσόμοια γ'. δευτεροῦντες τὸ α'.**

**Ἦχος α'. Ὢ τοῦ παραδόξου.**

Ὢ τοῦ παραδόξου θαύματος! ἡ πηγὴ τῆς ζωῆς, ἐκ τῆς στείρας τίκτεται· ἡ χάρις καρπογονεῖν, λαμπρῶς ἀπάρχεται. Εὐφραίνου Ἰωακείμ, τῆς Θεοτόκου γεννήτωρ γενόμενος· οὐκ ἔστιν ἄλλος ὡς σύ, τῶν γηγενῶν γεννητόρων θεόληπτε· ἡ γὰρ θεοδόχος Κόρη τοῦ Θεοῦ τὸ σκήνωμα, τὸ πανάγιον ὄρος, διὰ σοῦ ἡμῖν δεδώρηται.

Ὢ τοῦ παραδόξου θαύματος! ὁ ἐκ στείρας καρπὸς, ἀναλάμψας νεύματι, τοῦ πάντων Δημιουργοῦ, καὶ παντοκράτορος, εὐτόνως τὴν κοσμικήν, τῶν ἀγαθῶν διαλέλυκε στείρωσιν. Μητέρες σὺν τῇ

Μητρὶ, τῆς Θεοτόκου χορεύσατε κράζουσαι· Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

**Ὅμοιον.**

Στήλη σωφροσύνης ἔμψυχος, καὶ λαμπρὸν δοχεῖον, ἀποστίλβον χάριτι ἡ Ἄννα ἡ εὐκλεὴς, φανεῖσα τέτοκε, τὴν πρόβολον ἀληθῶς, τῆς παρθενίας τὸ θεῖον ἀπάνθησμα, τὴν πάσαις παρθενικαῖς, καὶ παρθενίας παθούσης τὸ χάρισμα, τὸ τῆς παρθενίας κάλλος, ἐμφανῶς βραβεύουσαν, καὶ παρέχουσαν πᾶσι, τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

**Δόξα, καὶ νῦν. Ἦχος πλ. β΄.**

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί. ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφὼν, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε· καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον τοῦ ἱερέως τοῦ μεγάλου· μόνη καὶ μόνον εἰσάγουσα Χριστὸν εἰς τὴν οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη, καὶ ἡ Λειτουργία.**

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΔΕΣΠΟΙΝΑΝ

## ΚΑΙ ΤΗΝ ΕΝ ΚΥΚΚΩ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΑΥΤΗΣ ΕΙΚΟΝΑ

Ποίημα Ἐφραὶμ ἁμαρτωλοῦ. Ἦχος πλ. δ΄.

**Ὠδὴ α΄. Ὑγρὰν διοδεύσας.**

Πολλοῖς μαστιζόμενοι τοῖς δεινοῖς, καὶ σοὶ προσελθόντες, λύσιν εὕροιμεν τῶν δεινῶν, διὰ τῆς Ἁγίας σου Εἰκόνος, Παρθένε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Παρθένε ἀπείρανδρε σαῖς Λιταῖς, συγχώρησιν δίδου, ἡμετέρων ἁμαρτιῶν, αἷς τὸν Κτίστην πάντων Θεόν μου, τὸν σὸν Υἱὸν παρεπίκρανα Ἄχραντε.

Ἐλέησον Πάναγνε Μαριὰμ, τοὺς προσπεφευγότας, σῇ Εἰκόνι τῇ Ἱερᾷ, δι᾿ ἧς μεγαλεῖα ἀπειργάσω, οἷα Θεὸν Παντοδύναμον τέξασα.

Ἴδε μου τὴν κάκωσιν ἀγαθὴ, ἴδε μου τὴν θλῖψιν, καὶ μετάβαλε εἰς χαρὰν, σοὶ καὶ νῦν προσφεύγων Παρθένε, λύσιν εὑρεῖν τῶν δεινῶν προσδεχόμενος.

**Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.**

Σκέπην οἶδα καὶ τεῖχος, Χριστιανῶν Πάναγνε, σὲ ὡς Τετοκυῖαν, τὸν Κτίστην πάντων καὶ Κύριον, ταῖς Μητρικαῖς σου πρεσβείαις, ὃν ἐξιλέωσαι, ἐμοὶ ὀργιζόμενον, ἡμαρτηκότι αὐτῷ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεῖον ἔργον πληροῦμεν, Ἱερῶν Πατέρων Δόγμα Θεόνυμφε, σχετικῶς Εἰκόνα, προσκυνοῦντες τὴν σὴν ὦ Πανύμνητε, ἡ τιμὴ γὰρ ταύτης, τῷ Πρωτοτύπῳ διαβαίνει, ὡς ὁ Μέγας διδάσκει Βασίλειος.

Δέομαί σου Κυρία, διὰ τῆς Εἰκόνος σου ἀπειροδύναμε, τῆς Κυκκιωτίσσης, ἣ πλουσίαν τὴν Χάριν ἐξέχεας, ἐλεῆσαι πάντας, τοὺς σὲ πιστῶς προσκαλουμένους, Ἐλεοῦσα τυγχάνουσα πράγματι.

Κυκκιώτισσα Χαῖρε, Εἰκὼν Χαριτόβρυτε, τῆς Θεομήτορος, Ἐλεοῦσα πάντας καὶ τῆς Κύκκου Μονῆς οὖσα στήριγμα μεγαλεῖα γάρ σοι, ἡ τοῦ Θεοῦ ἔδειξε Μήτηρ τοῖς ἐπικαλουμένοις σε πάντοτε.

### Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Λογισμῶν μου τὴν σκότωσιν, καὶ τοῦ πονηροῦ ἐνέδρας Παντάνασσα διασκέδασον δυνάμει σου, καὶ γαλήνην δίδου τῇ καρδίᾳ μου.

Μεγαλεῖα ἐποίησας διὰ τῆς Εἰκόνος σου Μητροπάρθενε, ἐξ αὐχμοῦ καὶ περιστάσεων, ῥυομένη τοὺς προσκαλουμένους σε.

Τὸν Σωτῆρα ἡ Τέξασα, δίδου σωτηρίαν τοῖς μετὰ Πίστεως, σοὶ προστρέχευσι Πανάμωμε, ἐπικαλουμένοις τε σὸν ὄνομα.

Ἡ ἐλπὶς καὶ βοήθεια, τῶν ἀπελπισμένων ὑπάρχεις Δέσποινα, διὰ τοῦτο σοῦ δεόμεθα, σῶσον ἡμᾶς οἴκτιρον πρεσβείαις σου.

### Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Πλήρωσον χαρᾶς, τὴν καρδίαν ἡμῶν Ἄχραντε, ἡ ἐκπληροῦσα τὰ αἰτήματα, τῶν εὐλαβῶς Ἁγνή, σοῦ δεομένων Πανάμωμε.

Πταίσματα ἡμῶν, ἐξαφάνισον δεόμεθα, οἷς τὸν Υἱόν σου παροργίζομεν, Μῆτερ Θεοῦ, ἡ καὶ Ἀγγέλους ὑπερέχουσα.



Λύτρωσαι Ἁγνή, τῶν δεινῶν καὶ περιστάσεων, τῶν κατεχόντων ἡμᾶς Δέσποινα, τοὺς τῇ σῇ σκέπῃ εὐλαβῶς νῦν προσφεύγοντας.

Σῶσον δωρεάν, τὸν Σωτῆρα ἡ Κυήσασα, ἡμᾶς τοὺς πόθῳ προσιόντας σοι, καὶ τῷ σεπτῷ σου νῦν ἐκτυπώματι προσφεύγοντας·

### Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ῥυσθείημεν πειρασμῶν, διὰ τῆς σῆς Παναμώμητε, Εἰκόνος Θαυματουργοῦ, πιστοὺς Ἐλεούσης τε, δι᾿ ἧς ἀπετέλεσας, πολλὰ καὶ μεγάλα ὦ Παντάνασσα θαυμάσια.

Ὡς ἐν θαλάσσῃ καὶ γῇ, ἐθαυματώθης παράδοξα, τελέσασα τοῖς πιστῶς ἐπικαλουμένης σε, οὕτω νῦν θαυμάστωσον ἐν ἐμοὶ Παρθένε, τὸ θαυμάσιόν σου Ὄνομα.

Κυκκιωτίσσης Εἰκών, τῆς Θεομήτορος σῶσόν με, ἡ Χάριν πλουτοποιόν, Θεόθεν πλουτήσασα, ἐνεργεῖν τεράστια, ἐπ᾿ εὐεργεσίᾳ, τῶν πιστῶς προσκαλουμένων σε.

Χαρίτωσόν μου τὸν νοῦν, καὶ τὴν καρδίαν κάθαρισον, ἐκ πονηρῶν λογισμῶν, Θεόνυμφε Δέσποινα, πειρασμῶν λύτρωσαι, Κεχαριτωμένη ἡ ἐλπὶς καὶ προστασία μου.

### Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Τὴν ἐλπίδα μου πᾶσαν, σοὶ ἀνέθηκα Κόρη Θεοχαρίτωτε, ὡς μέγα δυναμένη, Παντοδύναμον Λόγον, ὡς τεκούσῃ ἀμόλυντε, ὃν εὐλογοῦμεν πατρί, σὺν Ἁγίῳ Πνεύματι.

Τὴν Εἰκόνα σου πάντες ἀσπαζόμεθα Κόρη ἀκαταμάχητε, ὡς θαύμασιν ἀπείροις, ἐν ξηρᾷ καὶ θαλάσσῃ, δοξασθεῖσαν Πανάμωμε, τῇ Χάριτί σου Παρθένε Ἁγία Δέσποινα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐπηγάγω τοὺς ὄμβρους, καὶ εὐκράτους ἀέρας, Εἰκὼν Χαριτόβρυτε, ὡς πλουτήσασα χάριν Θεόθεν ταῖς πρεσβείαις, τῆς Ἁγνῆς Θεομήτορος, ἣ μεγαλεῖα ὡς ὄντως, ἔδειξε Κύριος.

Σωμάτων ἀσθενείας καὶ ψυχῶν ἀρρωστείας ἀπειροδύναμε, ἰάτρευσον Παρθένε, τῇ Θείᾳ σου πρεσβείᾳ, παρρησίαν ὡς ἔχουσα, πρὸς τὸν Υἱόν σου, Ἁγνὴ μόνη εὐλογημένη.

## Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν οὐρανῶν.

Τὸν Βασιλέα ὡς τοῦ παντὸς Τετοκυῖα, Θεοτόκε ἀνυμνοῦμεν σε πάντες, καὶ δοξολογοῦμεν ὡς κεχαριτωμένην.

Τὴν χαριτόβρυτον τὴν ἐν Κύκκῳ Εἰκόνα, τῆς Παρθένου νῦν τιμήσωμεν πάντες, ὡς ἐν θαυμασίοις πολλοῖς μεγαλυνθεῖσαν.

Οἰκτίρησον τὸν λαόν σου Παρθένε, τὸν τῇ σκέπῃ προσδραμόντα σοι Κόρη, ἵνα μεγαλύνῃ τὴν σὴν μεγαλωσύνην.

## Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἐλέησον Παρθένε, τὴν ἁμαρτωλόν μου, ψυχὴν Ἁγνή, ἣν ἀθλίως διέθηκα, καὶ λύτρωσαί με πυρὸς τῆς κολάσεως.

Παρθένε Παναγία, σῶσόν με πρεσβείαις ταῖς σαῖς, Σωτῆρα τῷ κόσμῳ γεννήσασα, ἵνα ὑμνῶ σου τὴν ἄψυχον δύναμιν.

Εἰκὼν Κυκκιωτίσσης Κεχαριτωμένη, ἡ τῶν πιστῶν ἐπακούουσα δέησιν, ἐπάκουσον νῦν κἀμοῦ Χαριτόβρυτε.

Παρθένε Θεοτόκε, δέχου εὐπροσδέκτως, τὸ κατὰ δύναμιν δῶρον Πανάχραντε, καὶ ἄνες ἄφες μοι Δέσποινα τὰ ἐγκλήματα.



***Τὸ παρὸν Ἰδιόμελον δοξαστικὸν ψάλλεται ἐν τῇ Μονῇ τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου τοῦ Κύκκου ἐν ταῖς Λιτανείαις εἰς τὸν ἀσπασμόν, συντεθὲν παρὰ τοῦ Ἱεροδιδασκάλου Ἐφραίμ.***

## Ἦχος πλ. δ΄.

Ὄντως μεγαλεῖά σοι ἐποίησε, καθὰ προέφης, ὁ Κύριος Θεοτόκε Παρθένε, τῶν Πιστῶν ἡμῶν ἡ Προστασία, ὡς θαύμασιν ἀπείροις μεγαλεῖα ποιήσας, καὶ ποιῶν καθ' ἑκάστην, ἐπὶ τὴν Σεβασμίαν Εἰκόνα, τὸ καύχημα τῆς Κύπρου, καὶ τῆς Μονῆς τοῦ Κύκκου ὁ θησαυρός, προφθάνεις γὰρ ταχέως βοηθοῦσα, τοὺς μετ' εὐλαβείας σε ἐπικαλουμένους, δι' αὐτῆς ἐν ξηρᾷ καὶ θαλάσσῃ, ἐν νόσοις καὶ περιστάσεσι, καὶ ἐν αὐχμώδεσι μάλιστα καιροῖς· διὸ δυσωποῦμεν, διὰ τῆς Χαριτοβρύτου σου Θεοτόκε Εἰκόνος, κλέος οὔσης τῶν Ὀρθοδόξων, καὶ τῆς Νήσου τὸ σεμνολόγημα, ῥῦσαι τοὺς δεομένους σου, τῶν ὁρατῶν ἐχθρῶν καὶ ἀοράτων, χαριζομένη ἡμῖν ἁμαρτημάτων ἄφεσιν, καὶ τὸ μέγα ἔλεος ὦ Ἀειπάρθενε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ




ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑ

*Τὰ παρόντα Ἰδιόμελα ψάλλονται, ὅτε ὁ λαὸς ὅλος ἀσπάζεται τὴν Ἁγίαν Εἰκόνα, μετὰ τὴν Λιτὴν, ὁ δὲ ἀσπασμὸς γίνεται ἔξω τῆς πύλης. Ψάλλονται δὲ τὰ αὐτὰ ὡσαύτως καὶ ἐν πάσαις ταῖς Λιτανίαις, ἐν αἷς δέονται τῇ τοῦ Θεοῦ ἡμῶν Μητρὶ, ἐν καιρῷ αὐχμοῦ καὶ λιμοῦ καὶ αἰφνιδίων θανάτων καὶ δυσκρασίας ἀνέμων.*

## Ἦχος α΄.

Δράμετε δαιτυμόνες καὶ τῆς Παρθένου ἐρασταὶ, ἐπὶ τῇ χαριτοβρύτῳ Πανηγύρει αὐτῆς, μὴ συναρπασθέντες συμβουλίᾳ τοῦ δράκοντος, ὥς ἡ προμήτωρ πάλαι ἐν Ἐδέμ· ὁ γὰρ δόλιος ἐχθρὸς, φθονεῖ τὴν Σωτηρίαν ἡμῶν, Ἄνασσα δὲ Κόρη ἀντιβραβεύσει ἡμῖν, ἅπασι τοῖς Πιστοῖς, Δῶρα Οὐράνια.

## Ὁ αὐτός.

Δεῦτε τὸ Σύστημα τῶν Πιστῶν, Χριστοφόροι Λαοὶ καὶ τῆς Κύπρου οἱ βλαστοὶ, συνελθόντες πάντες ἐπὶ τὸ αὐτὸ, πλησιάσαντες ἐν τῷ τοῦ Κύκκου ὄρει, ἄπιτε τῇ τῆς Παρθένου Μονῇ πανευλαβῶς, ἀντλοῦντες Ὕδωρ Πνευματικὸν, Οὐράνιον Πόμα καὶ ἡδὺ, Χάριτος Θείας παρὰ τῆς Ἀχράντου, διὰ τῆς Θεομητορικῆς Εἰκόνος· νέμει γὰρ ἡμῖν τὰ βραβεῖα δαψιλῶς, πλουσίως καὶ παραδόξως τὰς χάριτας ἐπιχορηγεῖται· δεῦτε ἴδετε Θαύματα παράδοξα, πάθη ποικίλα καὶ νοσημάτων ἀρρωστήματα θεραπευόμενα· ψυχικῶν παθῶν τραύματα ἀπαλλαττόμενα, κακουργιῶν ἕλκη δεινὰ ἰώμενα. Ἰδοὺ ἡ Ἄνασσα, συσφίγγουσα παραλύτους, καὶ φυγαδεύουσα δαίμονας, λεπροὺς καθαρίζουσα, καὶ χωλοὺς ἀνορθοῦσα, καὶ πάντων τῶν χαλεπῶν παθῶν τὴν ἀπαλλαγὴν παρέχουσα, ἰᾶται τὰς ψυχὰς ἡμῶν, καὶ τὰ σώματα· κωφοὺς εὐλάλους ποιεῖ, καὶ τοὺς ἐν θαλάσσῃ κινδυνεύοντας παραδόξως ἀεὶ διασῴζει. Δεῦτε οὖν σκιρτήσατε μετ' εὐφροσύνης, καὶ χορεύσατε ἀγαλλόμενοι πνευματικῶς, ἐπὶ τῇ πανηγύρει αὐτῆς, συνεορτάζοντες βοήσατε τῇ Κόρῃ· ὦ Πανσεβάσμιε Παρθένε, ὦ Παναγία, ὦ Δέσποινα ἀπειρόγαμε Μαρία, Κυκκιωτίσσης Εἰκὼν Θαυματουργοτάτη, ῥῦσαι ἡμᾶς λιμοῦ, καὶ λοιμοῦ τε αὐχμοῦ, καὶ πάσης ἄλλης ἀνάγκης ἐπιβλαβοῦς· τὴν σὴν γὰρ προστασίαν κεκτημένοι ἀγλαοφανῶς, φρουρούμεθα κατὰ τὸ μέγα σου ἔλεος.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

### Ὁ αὐτός.

Δεῦτε τῶν Ὀρθοδόξων τὸ Σύστημα, πνευματικῶς συνελθόντες, συνεορτάσωμεν, ὕμνους ἐξᾴδοντες, ἐν τῇ τῆς Θεοτόκου Πανηγύρει, κραυγάζοντες, Παναγία ὑπεράμωμε, στήριγμα ἀρραγές, καὶ τεῖχος ἀπολιόρκητον τῆς Νήσου Κυπρίων· ἐξαιρέτως δὲ ταύτης τῆς Ποίμνης σου, Κυκκιώτισσα· εἰμὴ γάρ σε εἴχομεν προστάτιν ἐπίκουρον, πάντως ἐγενόμεθα ἂν κατάβρωμα δαιμόνων, Πανύμνητε· τί σοι προσενέγκωμεν ὑπὲρ τούτων Πανάμωμε Δέσποινα; τὴν Πίστην βεβαίαν, Ἀγάπην τὴν εἰλικρινῆ, καὶ ἐλπίδα, τὴν ἔνθερμον καὶ μόνιμον, δι' ὧν σῷσον τὰς ψυχὰς ἡμῶν.

### Ἦχος β΄.

Μεγάλης εὐεργεσίας ἀπολαύειν μέλλοντος Πιστοί, πανευλαβῶς τῇ Ἁγίᾳ Εἰκόνι προσδράμωμεν, τῆς Παννυμνήστου καὶ Θεομήτορος, τὰς ψυχὰς ἡμῶν μυστυκῶς ἁγιαζόμενοι. Μήτηρ γὰρ ἡμῶν ἡ θετή, ἡ τοὺς υἱοὺς ἐφορῶσα καὶ ποιοῦσα ἔλεος, κλίνει ἑαυτὴν καὶ εὐχὰς δεχομένη χεϊκῶν, πάσης ἐναντίας δυνάμεως, ἀσφαλῆ δωρεῖται τὴν ἐπίβασιν. Ταύτῃ ἐκβοήσωμεν εὐχαριστοῦντες, ὦ Δέσποινα ἀντιλαβοῦ ἡμᾶς, καὶ λύτρωσαι ἐκ τοῦ πονηροῦ· σὺ γὰρ εἶ προστάτης ἡμῶν καὶ βοήθεια.

### Ὁ αὐτός.

Παρῆλθεν ἡ πλάνη τῆς ἀρᾶς, τῆς σῆς Νηδύος ἀσπόρου τετοκυίας Πανύμνητε· πάντες γὰρ ὁρῶντες ἐν σοί, τὰ ὑπὲρ φύσιν παράδοξα Μυστήρια, προστρέχομεν τῇ χαριτοβρύτῳ σου Εἰκόνι πόθῳ τε καὶ χαρᾷ, καὶ τῶν αἰτημάτων οὐκ ἀμοιροῦντες, λυτρούμεθα τῶν δεινῶν ἡμῶν, πειρασμῶν τε καὶ θλίψεων.

### Ἦχος γ΄.

Πῶς μὴ θαυμάσωμεν, τὰς μητρικάς σου χάριτας Πανσεβάσμιε; σῴζεις γὰρ ἡμᾶς, λιμοῦ λοιμοῦ τε καὶ αὐχμοῦ, καὶ δαιμόνων ἀοράτων καὶ κινδύνων ἀφαρπάζουσα· τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα, διατηροῦσα ἐκ τῶν σκανδάλων τῶν πονηρῶν, καὶ φθορᾶς καὶ κακώ-



σεως διασῴζουσα Κόρη, Σεβασμία διὰ τῆς Χαριτοβρύτου Εἰκόνος σου Θείας, ἣν ὁ Θεῖος Λουκᾶς ἀντιστορήσας σοι ἀπέδωκε. Χαριτοβρύτως ταύτην οὖν κατεκόσμησας Θείας Χάρισι, προσψαύσασα παναχράντοις χερσί σου· διὸ ἄσπιλε δι' αὐτῆς σῷσον τὰς ψυχὰς ἡμῶν.

### Ἦχος δ΄.

Ἄνασσα Μαριὰμ τῆς Κύπρου τὸ καύχημα καὶ παντὸς τοῦ λαοῦ τῶν Ὀρθοδόξων τὸ σύστημα, προσπίπτομέν σοι μετὰ φόβου, οἱ ἐν δεινοῖς ἁμαρτήμασι. Μήτηρ γὰρ ἡμῶν ὑπάρχεις Πανάχραντε Δέσποινα. Συγγενοῦς οὖν προνοίας μὴ ἐπιλάθῃ Ἄχραντε· γυμνοὶ γὰρ ἐσμεν Θείας ἐπισκέψεως, Χαριτόβρυτε Κόρη, μὴ παρίδῃς φωνὰς ἁμαρτωλῶν, ἱκετεύουσα τῷ τῶν ὅλων ἡμῶν Θεῷ, ὅπως γένηται ἡμῖν ἵλεως, καὶ δωρήσηται ἡμῖν ἁμαρτιῶν τὴν ἄφεσιν· καὶ γὰρ ἔχεις τὸ δύνασθαι, ὡς Μήτηρ οὖσα τοῦ Κτιστοῦ σου. ἐπίδειξον ἡμῖν ἀσφαλῶς τὴν ἐνέργειαν, διὰ τῆς Χαριτοβρύτου σου Εἰκόνος Κυκκιωτίσσης, ἄνανδρε Θεόνυμφε· ἐπιβραβεύουσα, καὶ σώζουσα ἡμᾶς διὰ τὸ μέγα ἔλεος τοῦ Υἱοῦ σου, Πανακήρατε Θεονύμφευτε, καὶ Σωτῆρος ἡμῶν Χριστοῦ.

### Ὁ αὐτός.

Ἔπρεπε τῇ περιφήμῳ Νήσῳ τῆς Κύπρου, τὴν Εἰκόνα ἔχειν τῆς Θεοτόκου, ὥσπερ τινὰ Κόσμον Οὐράνιον, Θησαυρόν τε πολύτιμον καὶ ἄσυλον· αὕτη δὲ καταπλήττουσα πάντας, τοῖς Χαριτοβρύτοις αὐτῆς Θαύμασιν, συναγείρει τοὺς Πιστοὺς ᾀσμάτων τῶν Θεοπρεπῶν, ὡς ἐραστὰς τῶν δωρημάτων αὐτῆς· ταύτῃ ἐκβοήσωμεν, Κυκκιωτίσσης Εἰκὼν Θεόνυφε Κόρη, σῷζε ἡμᾶς τῇ μεσιτείᾳ σου Πανύμνητε Δέσποινα.

### Ὁ αὐτός.

Πάντες οἱ ἐρασταί, τῆς Δεσποίνης ἡμῶν Παρθένου τε καὶ Ἁγνῆς, Φιλόχριστοι Λαοί, προσελθόντες μετ' εὐλαβείας, προσεγγίσατε ἀδιστάκτως· ἡ γὰρ μητρόθεος Ἄνασσα, πάρεισιν εὐμενῶς ἡμῖν τοῖς φιλοτέκνοις, εὐεργετοῦσα καὶ ἰωμένη ἡμῶν τὰ νοσήματα, λύουσα τὰς σειρὰς τῶν ἁμαρτημάτων ἡμῶν. Ταύτῃ ἐκβοήσωμεν, προθύμως

ἀναχράζοντες· ὦ Παναγία Κυκκιώτισσα πρόφθασον, διὰ τῆς σῆς Εἰκόνος, Σεπτῆς τε καὶ Χαριτοβρύτου, ἐπευεργετοῦσα ἡμᾶς, καὶ καταπλουτίζουσα Πάντιμε μυριώνυμε Κόρη. Δεῦτε οὖν, πανευλαβῶς ἐνατενίζοντες αὐτῇ, φωτισθῶμεν τῇ διανοίᾳ μυστικῶς πανηγυρίζοντες· ἰδοὺ ἡ Μήτηρ ἡμῶν τῶν πιστῶν, ἡ πάσης τῆς κτίσεως Ἄνασσα ἡ τῶν Ἀγγέλων χαρὰ, καὶ Μεσίτρια ἁμαρτωλῶν, ἡ σῴζουσα τὰς ψυχὰς ἡμῶν διὰ τοῦ Τόκου αὐτῆς.

## Ὁ αὐτός.

Δεῦτε τῶν Κυπρίων τὸ Σύστημα Χριστοφόροι Λαοὶ, οἱ τοῦ Φωτὸς υἱοὶ, καὶ συνεορτασταὶ τῆς Θεόπαιδος Ἁγνῆς, ἄρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, τὸν νοῦν ἀνιπτάμενοι ἐπιγνῶμεν μυστηρίου τὴν δύναμιν· τί τὸ βάθος, τίς ὁ πλοῦτος, καὶ τὸ ὕψος τῆς πανηγύρεως· ἡ γὰρ σεπτὴ τῆς Θεομήτορος Εἰκὼν, Χαριτόβρυτος οὖσα, Κυπρίων ἐστὶ τὸ ἀγλαΐσμα· Ὀρθοδόξων τὸ καύχημα, Βασιλέων τὸ νῖκος καὶ τρόπαιον, κατ' ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων· δόξα καὶ πλοῦτος ἁπάντων τῶν ἐπ' αὐτῇ πεποιθότων, πανευλαβῶν Χριστιανῶν· τῶν Μοναζόντων ἐστὶ τὸ σεμνολόγημα, τοῦ Κύκκου Ὄρους τὸ ἀγαλλίαμα, Ἀρχιερέων ἡ εὐπρέπεια, καὶ τῆς Μονῆς ταύτης ἡ προστάτης καὶ ἀντίληψις· παντὸς δὲ τοῦ Κόσμου ὁ κόσμος καὶ Μοναζουσῶν καλλωπισμὸς καὶ εὐπρέπεια· ἡ τῶν Ὁσίων εὔφημος τερπνότης καὶ θυμηδία ἡ κατὰ τὸ ὄνομα Κυκκιώτισσα, καὶ κατ' ἐνέργειαν χαριτόπλουτος, Ἐλεοῦσά τε καὶ Ἄνασσα· καὶ γὰρ οἱ μὴ ἔχοντες ἔλαιον ἐν τοῖς ἀγγείοις, προσελθόντες ἀρύσασθαι ἀπολαβόντες ἑαυτοῖς, καὶ ἐμπλησθέντες τῶν δωρεῶν τῆς Ἀνάνδρου ἡμῶν Μητρός. Ἔλαιον ἀγαλλιάσεως, φωτισμὸν νοὸς καὶ διανοίας· ἔλαιον χρηστότητος, χάριτος Θεοφεγγοῦς τῆς Σοφίας· ἔλαιον Ἁγιασμοῦ Μύρον Οὐράνιον, Θεοδότου δωρεᾶς, καὶ τροφῆς πνευματικῆς. Τράπεζα γὰρ τοῦ Λόγου ἐστὶν ἡ Πάναγνος, ἐκτρέφουσα Θεὸν Πεινώσας ψυχάς. Ἀλλ' ὦ Παρθενομῆτορ Κόρη, διὰ τοῦ ἀχράντου Τόκου σου, ἐλέησον καὶ σῶσον ἡμᾶς.

## Ὁ αὐτός.

Οὐκ ἔδεισε Νῆσος Κυπρίων, ὑπεραίρεσθαι καὶ μεγάλα αὐχεῖν, κομπάζουσα κατὰ νοῦν καὶ διάνοιαν, ὡς πεφυκυῖα καθέδρα τῆς πρώτης Ἰουστινιανῆς· ἔχεις γὰρ Κυκκιωτίσσης τῆς Θεομήτορος, ἱστοριόγραφον Ἀποστολικὴν Εἰκόνα, τῆς ἀσπόρως τὸν Κύριον ἡμῶν Τεκούσης· καθομολογουμένη δὲ βόηθον, κραυγάζουσα καὶ ἀποδιδοῦσα τῇ τοῦ Θεοῦ ἡμῶν Μητρὶ τοὺς εὐχαριστηρίους ὕμνους, μεγαλύνει ἡ δόξα μου λέγουσα, τὸν Ἄνακτα Θεὸν τὸν ἀποδόντα μοι, τὴν τῆς Θεομήτορος Χαριτόβρυτον ταύτην Εἰκόνα· τὴν ὑπόληψιν τῶν ἀξιωμάτων μου, καὶ ἀνάπαυσιν τῶν ἐμῶν κροτάφων, τὸ ὕψος τε τῶν ἀπείρων Θαυμάτων, καὶ βάθος τῆς εὐσπλαγχνίας, καὶ πλοῦτον τῆς ἐμῆς πτωχείας, καὶ μῆκος τῆς σωτηρίας· διὸ αἰτουμένη βόησον· Ἄνανδρε Κόρη, τὴν εἰρήνην δώρησαι τῷ Λαῷ σου διὰ τοῦ Θείου Τόκου σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.



## Ἦχος πλ. α'.

Προσελθόντες συνεγγίσατε, ὁ τοῦ Θεοῦ Λαὸς ὁ Ἅγιος, οἱ πεφωτισμένοι Πνεύματος Κυρίου ἥκατε, καὶ τῇ Πανάγνῳ Μητρὶ τοῦ Θεοῦ ἡμῶν, ᾠδὰς ἄσατε, ἐπὶ τῇ χαρμοσύνῳ αὐτῆς Ἑορτῇ· ἡ γὰρ Ὑψηλοτέρα τῶν Οὐρανίων ἄνω Ταγμάτων καὶ ἀσυγκρίτως Τιμιωτέρα, Παρθένος καὶ Σεβασμία ταχὺς ἐστιν εἰς ἀντίληψιν καὶ ἀρωγὸς ἡμῶν ἐπίκουρος καὶ οὐκ ἰσχύει ἡμῖν ὁ νοητὸς ὄφις, ὁ νοῦς ὁ Ἀσσύριος καταπαλαίειν ἡμᾶς, τῇ προστασίᾳ αὐτῆς, ἀλλ' ὦ Πανάχραντε Ἁγνὴ, μὴ ὑστερήσῃς ἡμᾶς τοὺς τὴν σὴν προστασίαν κεκτημένους, τῆς Μητρικῆς σου Χάριτος μὴ ἀποβάλῃς ἡμᾶς ἀπὸ σοῦ, Κόρη Ἄχραντε, μήποτε καταισχυνθῶμεν ἀθλίως ὑπὸ τῶν δαιμόνων οἱ τάλανες. Ποῦ εἰσι τὰ ἀρχαῖά σου ἐλέη, ὦ Πανάμωμε Κόρη; ποῦ δὲ πρὸς ἡμᾶς τοὺς ἀναξίους καὶ τὰ σὰ μητρικὰ σπλάγχνα; καὶ ποῦ φεύγωμεν οἱ δεινοὶ τῆς σῆς προστασίας οὐκ οὔσης; πῶς οἴσομεν τὰ παγχάλεπα δεινὰ, ὦ Δέσποινα; τί γενώμεθα, ἀθετηθέντες παρὰ σοῦ Πανακήρατε; Σῶσον εὐόδωσον ὦ Ἐλεοῦσα πράγματι καὶ ὀνόματι, πρόφθασον καὶ ἀντιλαβοῦ ἡμᾶς, τῷ ἀσπόρῳ Τόκῳ σου, Ἄχραντε Θεόνυμφε.

## Ὁ αὐτός. πλ. α'.

Δεῦτε φιλέορτοι Λαοὶ καὶ Θεόφρονες Πατέρες πρὸς τὴν Παρθένον δράμωμεν· νέμει γὰρ βραβεῖα ὡς τοῦ Θεοῦ Μήτηρ, Εἰ-

ΑΝΤΩΝΙΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΑΓΙΩΤΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

κῶν δὲ ταύτης χαριτωθεῖσα ἐξ αὐτῆς, τὰς χάριτας ἐπιχορηγεῖ ἡμῖν διὰ τῆς Θεόπαιδος, ἀπείρως καταπλουτίζουσα πάντας βεβαίως. Πόθῳ οὖν προσέλθωμεν τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν, δεόμενοι αὐτῇ ἐκτενῶς, κραυγάζοντες Παναγία τοῦ Κύκκου πρόφθασον, ἐξελοῦ ἡμᾶς καὶ ῥῦσαι ποίμνην σὴν καὶ λαὸν ἀναπολόγητον Κυκκιώτισσα παναμώμητε, κατάβαλλε δὲ τῶν ἐχθρῶν τὰ φρυάγματα, τῇ παναλκεστάτῃ καὶ παντοκρατορικῇ δυνάμει τοῦ Υἱοῦ σου Ἄχραντε.

## Ἦχος πλ. β'

Χαίροις Ἄνασσα Ἁγνή, Μητροπάρθενε Θεοτόκε Κόρη· σὲ ἱκετεύομεν οἱ δοῦλοί σου, μετὰ πόθου εἰλικρινῶς· σὺ γὰρ πέφυκας παλάτιον τοῦ Λόγου πανύμνητε Κόρη καὶ γὰρ ἀνεδείχθης Δέσποινα, Οὐρανὸς καὶ Ναὸς τῆς Θεότητος, σπλάγχνα δὲ μητρικὰ ἀναλαβοῦσα, καταπολέμησον ὥς ποτε ὁ Δαβὶδ τὸν ὑψηλόφρονα Γολιάθ, ἐχθρὸν ἡμῶν τὸν παμπόνηρον, ἐκσφενδονήσασα τῇ σφενδόνῃ τῆς σῆς δυνάμεως καὶ καταβάλλουσα τὴν ὀφρῦν αὐτοῦ πανάχραντε Δέσποινα, ἀλλ' ὦ ἔμψυχε Ναὲ καὶ Κιβωτὲ ἁγιάσματος, ἔκτεινον τὴν χεῖρά σου τὴν ἄμαχον καὶ θραῦσον τῶν ἐχθρῶν ἡμῶν τὰ φρυάγματα, σὺ γὰρ εἶ Χριστιανῶν ἡ ἐλπίς, ἡ ἡδύνουσα τὰ πικρα νάματα τῶν ἁμαρτιῶν ἡμῶν τῇ σῇ Χάριτι, ἡ ὁδηγοῦσα ἡμᾶς ἐν ὁδῷ μετανοίας καὶ σῴζουσα τὰς ψυχὰς ἡμῶν.

## Ὁ αὐτός.

Ὦ νεολαία τῆς Παρθένου τε καὶ Μητρὸς τοῦ Θεοῦ ἡμῶν ὦ Ἱερὸν Σύστημα καὶ συνάθροισμα τῶν Πατέρων ὁ χορὸς, ἀγεληδὸν ἥκατε γονυπετῶς τῇ Παναγνῳ, λέγοντες πρὸς αὐτὴν ἐν ὅλῃ τῇ ἰσχύϊ ὑμῶν μετ' εὐλαβείας καὶ διανοίας καθαρᾶς. Ἄνασσα Δέσποινα ἡ ἐλπὶς ἡμῶν καὶ βοήθεια διὰ τῆς σεπτῆς καὶ χαριτοβρύτου σου Εἰκόνος, ἐλέησον Ποίμνην σήν· ἡμεῖς γὰρ Λαός σου καὶ πρόβατα νομῆς σου, σῶσον ἡμᾶς Πανάχραντε διὰ τοῦ Τόκου σου.

## Ὁ αὐτός.

Τὴν δεκάχορδον κινύραν τοῦ Δαβίδ, τὴν τοῦ Σολομῶντος χρυσῆν Κλίνην, ἐν ᾗ ἄνδρες ἑξήκοντα δυνατοὶ ἐκύκλουν αὐτήν· τὴν



ἑπτάφωτον τοῦ φωτὸς λυχνίαν τὴν χρυσαυγίζουσαν, ἐν ᾗ τὸ λαμπάδιον ὁ Χριστός· τὴν τοῦ Ἀαρὼν βλαστήσασαν Ῥάβδον· τὴν Στάμνον τὴν χρυσῆν, ἧς ὁ Λόγος τὸ Μάννα· τὸ τοῦ Κύκκου Ὄρους σεπτὸν σεμνολόγημα, συνελθόντες ἀδελφοί, ὕμνους ἐπαίνων, ἐγκωμιάζοντες εἴπωμεν· Θεοτόκε Ἀειπάρθενε, Κεχαριτωμένη Χαῖρε Μήτηρ Θεοῦ, Ἀρχαγγελικῶς ἀνυμνοῦντές σου δεόμεθα, φύλαττε Πανύμνητε ἀβλαβῆ Ποίμνην τὴν σήν, ἐκ λύκων ἀοράτων λυμαινομένων αὐτήν, καὶ σῶσον ἡμᾶς πανάσπιλε Δέσποινα.

## Ὁ αὐτός.

Πανύμνητε Ἄνασσα, Παρθενομῆτορ Κόρη Πανάμωμε, καὶ Δέσποινα πάντων, ἔπιδε ἐπὶ λαοῦ τοῦ πολλὰ ἡμαρτηκότος σοι, ἴδε τὴν ταπείνωσιν ἡμῶν, ἴδε καὶ τὴν κάκωσιν, πάντως γὰρ ἀπολώλαμεν Ἄχραντε· θαυμάτωσον ἡμῖν τὰ ἐλέη σου, αὐχμοῦ, λιμοῦ καὶ λοιμοῦ διὰ τῆς Σεπτῆς Ἁγίας σου Εἰκόνος ἀπαλλάττουσα, ὅτι δύνασαι ὅσα θέλεις Πανάχραντε· μήποτε εἴπωσι τὰ ἔθνη, ποῦ ἐστιν ἡ βοήθεια αὐτῶν; ἡρετίσω δὲ ἐν τούτῳ τῷ Ὄρει, ἐφιδρυθῆναί σου τὴν Χαριτόβρυτον Θείαν Εἰκόνα, Πανακήρατε Κόρη ὡς ἐν Πόλεσιν Ἁγίαις, μὴ παρίδῃς ἡμᾶς, ἀλλ' ἐγκαίνισον ἡμῖν ταῖς σαῖς μητρικραῖς εὐεργεσίαις, ἐγκαίνια καθαρότητος πνεύματι ἡγεμονικῷ, τοῖς Οὐρανίοις δώροις καταπλουτίζουσα τοὺς σοὺς δούλους· ἀλλ' ὦ Κυκκιώτισσα λεγομένη, καὶ Ἐλεοῦσα πεφυκυῖα, σκέπε ποίμνην σου σεπτήν, Λαὸν τὸν Ὀρθόδοξον· κλῆρος γὰρ ἐκλεκτὸς τοῦ Υἱοῦ σου ἐσμὲν ἅπαντες· δέξαι τὰς δεήσεις ἡμῶν, ὑπὲρ λαοῦ ἡμαρτηκότος καὶ ἀπεγνωσμένου, καὶ σῶσον Παναμώμητε τὴν κληρονομίαν σου, διὰ τοῦ ἀφράστου Τόκου σου.

## Ἦχος βαρύς.

Δεῦτε φιλεόρτων τὸ Σύστημα, πνευματικῶς πανηγυρίζοντες, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσωμεν ᾄσματα Ἑόρτια· ὑπὲρ γὰρ λόγον καὶ ἔννοιαν τὸ Θαῦμα αὐτῆς· πᾶσα δὲ γλῶσσα ἀπορεῖ εὐφημεῖν κατ' ἀξίαν αὐτήν· χείλεσιν οὖν ἀναξίοις περιδεῶς ἀτενίζοντες πρὸς αὐτήν, θερμῶς ἀνακράξωμεν· Παναγία Παρθένε, ῥῦσαι ἀναπολόγητον κληρουχίαν σου· εἰς σὲ γὰρ θαρροῦντες σῳζόμεθα πάντες.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

## Ἦχος πλ. δ΄.

**Π**αράδοξα σήμερον, τελοῦνται Θαύματα ἐν τῇ Μονῇ τῆς Θεοτόκου καὶ Παρθένου Μητρός· τὰ Οὐράνια Τάγματα, περιιπτάμενα, περικυκλοῦσι τρόμῳ σεπτῶς, τὴν πανσέβαστον αὐτῆς μορφήν, ὡς οὖσα ἐξ αὐτῆς, πλήρης Χάριτος πεπλουτηκυῖα, βαβαὶ τῶν χαρίτων, ὧν ἠξιώθης Μονὴ τοῦ Κύκκου; μεγάλα τὰ σὰ δωρήματα, καὶ μείζονα τὰ αὐχήματα· μακρόθεν γὰρ ἥκασιν ἐπὶ σοὶ ἐξ Ἀνατολῶν καὶ Δυσμῶν, Βορρᾶ τε καὶ Θαλάσσης, υἱοὶ φωτός, προσκομίζοντές σοι δῶρα τίμια καὶ ἔνδοξα πνευματικῶς· ἅπαν γένος τῶν βροτῶν ἕκαστος καθὰ δύναται, καὶ προαίρεσιν ἣν κέκτηται ἀγαθήν· τὰς παραδόξους θαυμασιουργίας, ἐν αἷς διὰ τῆς Χαριτοβρύτου σου, Σεπτῆς Εἰκόνος κατεπλουτίσθησαν καταγγέλλουσιν, εὐμενῶς τὰς ἀπείρους Χάριτας κηρύττοντες, καθομολογοῦσιν εὐλαβῶς τὰ ἐν αὐτοῖς ἐπιτελεσθέντα Θαύματα, δοξάζοντες τὴν παννύμνητον Ἄνασσαν, καὶ θεόπαιδα Μαρίαν τὴν Ἁγνήν, ἐξ ἧς τὸ ἄνθος Χριστὸς ὁ Θεὸς ἡμῶν. Χαίρετε ὄρη καὶ τὰ βουνά, τοῦ Κύκκου δὲ μᾶλλον ἀγαλλιάσθω τὰ τούτου δένδρα, καὶ τὰ τῶν ὀρέων πεύκη, οἷς γὰρ πρότερον ᾤκοῦντο θηρία ἄγρια καὶ σαρκοφάγα ὄρνεα, νῦν ἡ ἔρημος βλαστοὺς ἀνθρώπων ἀνεβλάστησε, καὶ τὰ ὄρη κατοικία Ἁγίων γεγόνασι. Ὢ τῶν παραδόξων θεωριῶν· ὢ θαυμασίας ἀλλοιώσεως· ὄντως παράδοξα ταῦτα, καὶ ὑπὲρ νοῦν ἐκπληττόμενα· διὸ μεγαλύνομεν τὸ Πανάγιόν σου Ὄνομα Ἄχραντε. Κηρύττομεν τὴν Χάριν ἣν ἐδωρήσω τῇ Ποίμνῃ σου ταύτῃ· καθομολογοῦμεν αἰνοῦντες, τὴν σὴν κρατίστην ἀντίληψιν, δι᾽ ἧς ἔσωσας ἡμᾶς τῷ ἀφθόρῳ Τόκῳ σου.

...ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



# ΣΤΙΧΗΡΑ ΨΑΛΛΟΜΕΝΑ

*Ἐν τῇ Λιτανείᾳ τῇ τῆς Κοιμήσεως Ἑορτῇ τῆς Θεομήτορος, λιτανευόντων τῶν Ἱερῶν Πατέρων καὶ περιερχομένων τὰ πέριξ ὅλα τῆς Μονῆς προαύλια, μετὰ τῆς Χαριτοβρύτου Ἁγίας καὶ Θεομητορικῆς Εἰκόνος, συνακολουθούντων καὶ Λαῶν ἀπείρων· καὶ κατέχοντες ἐν ταῖς χερσὶν αὐτῶν φῶτα καὶ κηρία ἁπτόμενα περιέρχονται μετ᾽ εὐλαβείας ἅπαντες, ψάλλοντες καὶ ᾄδοντες τὰ παρόντα, ἀσκεπεῖς τῇ κεφαλῇ, δέει πολλῷ, μετὰ φανῶν καὶ λαμπάδων, καὶ εὐωδῶν θυμιαμάτων.*

## Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν. Ἦχος β΄.

**Ὅ**τε ἐπὶ κλίνης σε νεκρόν, Χριστοῦ Φοιτηταὶ καθορῶντες, σὲ Μητέρα Ζωῆς, δάκρυσι κατέβρεχον τὴν γῆν ἐν ᾄσμασι· καὶ τῷ πόθῳ ἠπείγοντο, καρδίᾳ καὶ χείλει. Σῶμα τὸ πανένδοξον σοῦ περιπτύξασθαι· ὅμως συστελλόμενοι φόβῳ, μέλποντες ἐβόων σοι Χαῖρε, Μῆτερ Ἀειπάρθενε Θεόνυμφε.

## Ὅμοιον.

**Ὅ**τε ἐν τοῖς ὤμοις σε νεκράν, αἴροντες οἱ Μύσται τοῦ Λόγου, σὲ τὴν Μητέρα Θεοῦ, μύρα καὶ ἀρώματα Ἀγγέλων Τάγματα, Οὐρανόθεν κομίζοντες, ἀνύμνουν ἐκ πόθου, ᾄδοντες ἐν ᾄσμασι τοῖς

Μύσταις ἔλεγον· τί οὖν, ἀθυμεῖτε τῇ λύπῃ; τέρποντες βοήσατε πᾶσι, ἡ Ἁγνὴ πρὸς τὸν Υἱὸν μεθίσταται.

### Ὅμοιον.

Ὅτε αἱ Δυνάμεις σε σεμνή, Ῥάβδον Ἀαρὼν καθορῶντες, κειμένην ἄπνουν ἐν γῇ, ἔφριττον Πα·άμωμε ἀλλήλοις λέγοντες, νῦν ἀπαίρει ἡ Ἄνασσα, ἐνδόξως εἰς Θεῖα, Ἄνακτος Σκηνώματα, Ἁγνὴ Μητρόθεος· τρόμῳ συνερχόμενοι πάντες, ἐξόδιον ὕμνον ἐβόων, Ἀειπάρθενε Θεότευκτε.

### Ὅμοιον.

Ὅτε ἐν τῷ Τάφῳ σαρκικῶς, σὲ τὴν Κυοφόρον ὁρῶντες, Πνευμάτων Τάξεις πυρὸς, φόβῳ συνεστέλλοντο καὶ περιίπταντο, κατηφείας πληρούμενοι ἄλλως ἐν δόξῃ, Σῶμα τὸ Θεότευκτον ὃ περιείποντο· ὅμως αἱ ἀνώτεραι τούτων, ἐπάρατε πύλας ἐβόων, ἐκ σοῦ γὰρ ἀνθρώπων τε ἡ Λύτρωσις.

### Ὅμοιον.

Φρίττει τῶν Ἀγγέλων ἡ πληθὺς, καὶ σὲ Μαριὰμ καθορῶσα, κειμένην κλίνῃ νεκράν. Κόσμος μακαρίζει σε Πιστοὶ θαυμάζομεν, τὴν Σεπτήν σου Μετάστασιν, τιμῶντες ἐνθέως, καὶ σὺν Ἀποστόλοις σε φαιδρῶς γεραίρομεν· ὅθεν καὶ βοῶμέν σοι Χαῖρε, ἀπειράνδρε Νύμφη Ἀγγέλων, ἡ Χαρὰ ἀνθρώπων τε καὶ Λύτρωσις.

### Ὅμοιον.

Ῥεῖθρα δακρυρρόου ἐκ Πηγῆς, Θεῖοι ἀναστείλαντες Μύσται Λόγου Θεοῦ Μαθηταί· ῥήματα χαρμόσυνα διαπορθμεύουσι, Φιλοθέοις τοῦ πνεύματος, μηνύοντες πόθῳ, τὴν σὴν ἐκ τοῦ Μνήματος Ἁγνὴ Μετάστασιν· ὅθεν τὴν ἀντίθετον λύπης, ἤκουον φωνὴν ὑπ' Ἀγγέλων, τούτοις τὴν τὸ Χαίρετε προστάττουσαν.

### Ὅμοιον.

Ἄληκτον καὶ θείαν χαρμονὴν, ἐπιχορηγοῦσαι τοῖς Θείοις καὶ Ἱεροῖς Μαθηταῖς, ὤφθησαν ἀνώτεραι Νόων Δυνάμεων, ἐκπληροῦσαι



τὸ κέλευσμα τοῦ Θείου Δεσπότου, οὗ ἐξεθαμβήθησαν φωνὴν τὴν ἔνθεον, λέγουσαν, ἀρθήτωσαν Πύλαι, Οὐρανοδρόμων τῇ Μητρί μου. αὕτη γὰρ εἶ Σκηνὴ ἐπουράνιος.

### Ὅμοιον.

Χαίροντες Ἀπόστολοι Χριστοῦ, τῶν ἐκ τῶν Ἀΰλων ῥημάτων ἐπακροώμενοι γοῦν, ὅθεν τὴν Μετάστασιν Ἁγνῆς Μητρανάνδρου, ὑπὲρ πλέον πιστούμενοι, κἂν πρὶν ἀγνοοῦντες. Τάφῳ παρειστήκεισαν καὶ ἐκθαμβούμενοι ἔνδον ἀναβλέψαντες τοῦτον, ἀποκενωθέντα ἐνόουν, ἧς διηποροῦντο τὴν Μετάθεσιν.

### Δόξα, καὶ νῦν. Ἦχος πλ. α΄.

Πρὸς τὸ, Σὲ τὸν ἀναβαλλόμενον.

Σὲ τὴν ὑπερβάλλουσαν Μητέρα Θεοῦ ἡμῶν. Τιμιωτέραν πάσης Κτίσεως, καθορῶν ὁ σὸς θετὸς Υἱὸς, φίλος τε ἠγαπημένος τοῦ Θεανθρώπου Λόγου, κειμένην νεκρὰν ὑπτίαν, ἐπεφώνει γοερῶς, θρήνοις τε καὶ δάκρυσι, καὶ ὀδυρόμενος ἔλεγεν· οἴμοι, Μητρόθεε πάναγνε! ἣν πρὸ μικροῦ τεθέαμαι, ἐν τῷ τῶν ἐλαιῶν Ὄρει, ἱκετεύουσαν καὶ δεήσεις προσφέρουσαν, τρέμοντα δὲ τὰ δένδρα κορυφὰς ὑποκλίνοντα καὶ προσκυνοῦντά σοι· τὸν δὲ Γαβριὴλ τὸν Μέγαν Ἀρχάγγελον καταπτάντα καὶ μηνύοντά σοι τὸ μετάρσιον τῆς ἀνόδου, καὶ τὸ Χαῖρέ σοι λέγοντα· πῶς δὲ νῦν, ὑπτίαν καὶ νεκρὰν βλέπω σε; οἴμοι, τὸν ξένον, τὸν ἀπορφανισθέντα παρὰ σοῦ· οἴμοι τὸν ὑστερηθέντα σοῦ τῆς Μητρὸς, καὶ Θεοῦ μου γαλουχοῦ· πῶς οἴσω Μῆτερ; καὶ γὰρ παραδόξων πραγμάτων, καὶ ἀνεκδιηγήτων Θαυμάτων οὐ δύναμαι νοεῖν τὴν σαφήνειαν· ὦ Θαυμάτων παραδόξων· ὦ Μῆτερ Θεόνυμφε, ὄντως μεγαλεῖα τὰ σὰ, Δέσποινα Θεοτόκε· ὅθεν Θεαρχίῳ νεύματι, πάντοθεν ἤρχοντο, οἱ Θιασῶται διὰ νεφῶν, ὁρῶντες τὸ Θεῖον Σκῆνός σου νεκρὸν, ἐξεσιηκότες γοερῶς, ᾄσματα θεῖά σοι ἀνέμελπον, ὦ Δέσποινα ἐκβοῶντες, ποίαις χερσί σε προσψαύσαντες, κηδεύσωμεν τὸ σὸν ἀκήρατον Σῶμα; μεγαλύνομέν σε πανευλαβῶς Πανάχραντε Δέσποινα, ἀνυμνοῦντές σου τὴν Θείαν Μετάστασιν

ΤΕΛΟΣ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ